75. *ἐντανύσῃ βιόν*, den Bogen einspannt, d. h. zuerst die gewöhnlich nur auf der einen Seite, am einen Ende des Bogens befestigte Sehne auch am andern Ende (dem „Kopfende") einfügt (vgl. zu 125 f.) (d. h. ihre Schlinge in die *κορώνη* Iliad. *δ*, 111 einhängt und daran festmacht), so dass der Bogen selbst durch die zurückgezogene Sehne gespannt werden kann. Vgl. 97 = 127 *νευρὴν ἐντανύειν* und die ausführliche Schilderung der Art, wie Odysseus den Bogen spannte, 406—419. Uebrigens sind 75—79 = *τ*, 577—581.

83. *κλαῖε — ἄλλοθι*, an einer andern Stelle, gleichsam anderseits, d. h. wo er gerade stand.

85. *νήπιοι ἀγροιῶται — ἆ δειλώ*. Doppelte Anrede, von denen die zweite einen gesteigerten Tadel ausdrückt. Vgl. *κ*, 189 fg.

ἀλλ᾽ ἀκέων δαίνυσθε καθήμενοι, ἠὲ θύραζε 21
κλαίετον ἐξελθόντε, κατ᾽ αὐτόθι τόξα λιπόντε, 90
μνηστήρεσσιν ἄεθλον ἀάατον· οὐ γὰρ ὀίω
ῥηιδίως τόδε τόξον ἐύξοον ἐντανύεσθαι.
οὐ γάρ τις μέτα τοῖος ἀνὴρ ἐν τοίσδεσι πᾶσιν
οἷος Ὀδυσσεὺς ἔσκεν· ἐγὼ δέ μιν αὐτὸς ὄπωπα —
καὶ γὰρ μνήμων εἰμί —, πάις δ᾽ ἔτι νήπιος ἦα.“ 95
ὣς φάτο, τῷ δ᾽ ἄρα θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
νευρὴν ἐντανύσειν διοϊστεύσειν τε σιδήρου.
ἤτοι ὀιστοῦ γε πρῶτος γεύσεσθαι ἔμελλεν
ἐκ χειρῶν Ὀδυσῆος ἀμύμονος, ὃν τότ᾽ ἀτίμα
ἥμενος ἐν μεγάροις, ἐπὶ δ᾽ ὤρνυε πάντας ἑταίρους. 100
τοῖσι δὲ καὶ μετέειφ᾽ ἱερὴ ἷς Τηλεμάχοιο
„ὦ πόποι, ἦ μάλα με Ζεὺς ἄφρονα θῆκε Κρονίων.
μήτηρ μέν μοί φησι φίλη, πινυτή περ ἐοῦσα,
ἄλλῳ ἅμ᾽ ἕψεσθαι νοσφισσαμένη τόδε δῶμα·
αὐτὰρ ἐγὼ γελόω καὶ τέρπομαι ἄφρονι θυμῷ. 105
ἀλλ᾽ ἄγετε, μνηστῆρες, ἐπεὶ τόδε φαίνετ᾽ ἄεθλον,
οἵη νῦν οὐκ ἔστι γυνὴ κατ᾽ Ἀχαιΐδα γαῖαν,
οὔτε Πύλου ἱερῆς οὔτ᾽ Ἄργεος οὔτε Μυκήνης·

89. *ἀκέων δαίνυσθε*, vgl. zu *β*, 311.

91. *μνηστ. ἄεθλον ἀάατον*. Die Apposition ist ähnlicher Art wie 4 *φόνου ἀρχήν*. *ἀάατος*, unverletzbar, wie Iliad. *ξ*, 271 *ἀάατον Στυγὸς ὕδωρ* (wiewohl dort mit langer Paenultima), daher auch unantastbar, woran sich kein Unwürdiger oder Untüchtiger, Ungeweihter, wagen oder vergreifen darf, der also einzig den Freiern vorbehalten bleibt und selbst für diese ein schwerer und ernster ist. Unten *χ*, 5 braucht Odysseus diesen Ausdruck ironisch.

93. *μέτα*, erg. *ἐστίν* = *ἐν μέσῳ ἐστί*. Die Worte *ἐν τοίσδεσι πᾶσιν* enthalten die Erklärung.

95. *κ. γ. μνήμων εἰμί*, denn wohl erinnere ich mich seiner. Antinoos will sich durch diese Aeusserung bei der Penelope empfehlen.

98. *ἤτοι*, ja wohl, als Ausdruck mitleidiger Ironie, wegen des Contrastes des Folgenden mit der vorher bezeichneten freudigen Zuversicht des Antinoos. Daher grenzt hier der Begriff von *ἤτοι* nahe an *καίτοι*, wie Iliad. *χ*, 280 *ἤτοι ἔφης γε*. Zu *γεύσεσθαι* vgl. *υ*, 181.

99. *ὃν τότ ἀτίμα*, nämlich am gestrigen Tage, vgl. *ρ*, 445—463 und 477—480.

102—105. *ἄφρονα θῆκε — γελόω κ. τέρπομαι*. Ueber den Grund dieses Benehmens vgl. die Einleit. S. 33.

106. *τόδε ἄεθλον* (= 73) wird durch den folgenden Vers erklärt.

107. *κατ᾽ Ἀχαιΐδα γαῖαν*, im ganzen Land der Achäer, d. h. in Griechenland, vgl. zu *λ*, 166. Die im folgenden Vers genannten Städte

21 [οὔτ᾽ αὐτῆς Ἰθάκης οὔτ᾽ ἠπείροιο μελαίνης·]
110 καὶ δ᾽ αὐτοὶ τόδε γ᾽ ἴστε· τί με χρὴ μητέρος αἶνου;
ἀλλ᾽ ἄγε μὴ μύνῃσι παρέλκετε, μηδ᾽ ἔτι τόξου
δηρὸν ἀποτρωπᾶσθε τανυστύος, ὄφρα ἴδωμεν.
καὶ δέ κεν αὐτὸς ἐγὼ τοῦ τόξου πειρησαίμην·
εἰ δέ κεν ἐντανύσω διοϊστεύσω τε σιδήρου,
115 οὔ κέ μοι ἀχνυμένῳ τάδε δώματα πότνια μήτηρ
λείποι ἅμ᾽ ἄλλῳ ἰοῦσ᾽, ὅτ᾽ ἐγὼ κατόπισθε λιποίμην
οἶός τ᾽ ἤδη πατρὸς ἀέθλια κάλ᾽ ἀνελέσθαι.“
ἦ, καὶ ἀπ᾽ ὤμοιιν χλαῖναν θέτο φοινικόεσσαν
ὀρθὸς ἀναΐξας, ἀπὸ δὲ ξίφος ὀξὺ θέτ᾽ ὤμων.
120 πρῶτον μὲν πελέκεας στῆσεν, διὰ τάφρον ὀρύξας
πᾶσι μίαν μακρήν, καὶ ἐπὶ στάθμην ἴθυνεν,
ἀμφὶ δὲ γαῖαν ἔναξε. τάφος δ᾽ ἕλε πάντας ἰδόντας,
ὡς εὐκόσμως στῆσε· πάρος δ᾽ οὔ πώ ποτ᾽ ὀπώπει.
στῆ δ᾽ ἄρ᾽ ἐπ᾽ οὐδὸν ἰών, καὶ τόξου πειρήτιζεν.
125 τρὶς μέν μιν πελέμιξεν ἐρύσσεσθαι μενεαίνων,
τρὶς δὲ μεθῆκε βίης, ἐπιελπόμενος τό γε θυμῷ,

sind freilich alle im Peloponnes, dies ist aber zufällig: sie gehören zugleich zu den berühmtesten Städten von ganz Griechenland.

109. οὔτ᾽ αὐτῆς — μελαίνης scheint aus ξ, 97 fg. in umgekehrter Folge zusammengefügt; an Ithaka und seine Umgebung dachte der Dichter wohl zuerst bei κατ᾽ Ἀχαιΐδα γαῖαν.

111. μὴ μύνῃσι παρέλκετε, verzögert den Kampf nicht durch vorgeschützte Hindernisse oder Abhaltungen, Vorwände.

115. οὔ κέ μοι ἀχνυμένῳ κτέ., wird die Mutter nicht dies Haus zu meiner Betrübniss verlassen, und es also überhaupt nicht verlassen. Vgl. γ, 227 fg. In ἅμ᾽ ἄλλῳ ἰοῦσ᾽ liegt eine Missbilligung der neuen Vermählung.

116. ὅτε — λιποίμην, während ich zurückbliebe.

117. π. ἀέθλια κάλ᾽ ἀνελέσθαι, die schönen Kampfgeräthe des Vaters (den Bogen 4 und 62) aufzuheben, d. i. zu handhaben, Kämpfe damit zu bestehen und überhaupt als Mann dem Hause vorzustehen.

118. φοινικόεσσαν, vgl. zu ξ, 500.

120. πελέκεας στῆσεν κτέ., vgl. zu τ, 574.

120—122. διὰ — ὀρύξας — ἔναξε. Also war der Saal nicht gepflastert; vgl. χ, 329. 383 κονίῃσιν. 455.

122. τάφος, die dem Stamme nähere Form von θάμβος.

125 fg. τρὶς μέν — βίης, aus Iliad. φ, 176, wo die Ausdrücke πελέμιξεν ἐρύσσεσθαι in Beziehung auf eine aus dem Boden zu ziehende Lanze ungleich eigenthümlicher stehen; hier wird damit das Bestreben bezeichnet, die Enden des Bogens so gegen einander zu beugen und zusammenzudrücken, dass die Sehne von dem einen Ende, woran sie befestigt war, auch an das andere hin-

νευρὴν ἐντανύσειν διοϊστεύσειν τε σιδήρου. 21
καί νύ κε δή ῥ᾽ ἐτάνυσσε βίῃ τὸ τέταρτον ἀνέλκων,
ἀλλ᾽ Ὀδυσεὺς ἀνένευε καὶ ἔσχεθεν ἱέμενόν περ.
τοῖς δ᾽ αὖτις μετέειφ᾽ ἱερὴ ἷς Τηλεμάχοιο 130
„ὦ πόποι, ἦ καὶ ἔπειτα κακός τ᾽ ἔσομαι καὶ ἄκικυς,
ἠὲ νεώτερός εἰμι καὶ οὔ πω χερσὶ πέποιθα
ἄνδρ᾽ ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ.
ἀλλ᾽ ἄγεθ᾽, οἵ περ ἐμεῖο βίῃ προφερέστεροί ἐστε,
τόξου πειρήσασθε, καὶ ἐκτελέωμεν ἄεθλον.“ 135
ὣς εἰπὼν τόξον μὲν ἀπὸ ἕο θῆκε χαμᾶζε,
κλίνας κολλητῇσιν ἐυξέστῃς σανίδεσσιν,
αὐτοῦ δ᾽ ὠκὺ βέλος καλῇ προσέκλινε κορώνῃ,
ἂψ δ᾽ αὖτις κατ᾽ ἄρ᾽ ἕζετ᾽ ἐπὶ θρόνου ἔνθεν ἀνέστη.
τοῖσιν δ᾽ Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός· 140
„ὄρνυσθ᾽ ἑξείης ἐπιδέξια πάντες ἑταῖροι,
ἀρξάμενοι τοῦ χώρου ὅθεν τέ περ οἰνοχοεύει.“
ὣς ἔφατ᾽ Ἀντίνοος, τοῖσιν δ᾽ ἐπιήνδανε μῦθος.
Λειώδης δὲ πρῶτος ἀνίστατο, Οἴνοπος υἱός,
ὅ σφι θυοσκόος ἔσκε, παρὰ κρητῆρα δὲ καλόν 145

übergezogen und in die daran befindliche Kerbe vermittelst der Schlinge (vgl. zu 75) eingehängt werden konnte. *μεθῆκε βίης*, er erschlaffte an Kraft, es ging ihm die Kraft aus.

129. *ἀλλ᾽ Ὀδ. ἀνένευε*, für *εἰ μὴ Ὀδυσεὺς ἀνένευε*.

131. *ἦ καὶ ἔπειτα κτέ.* Telemach verstellt sich hier wieder vor den Freiern wie 102fg.

132fg. *ἠὲ νεώτερος—χαλεπήνῃ* scheint der Stelle *π*, 71fg. nachgebildet.

137. *κλίνας κολλητῇσιν — σανίδ.*, weil er nach 124 auf der Schwelle, also zunächst an der Thüre stand. Zu *κολληταὶ σανίδες* vgl. *ψ*, 194 *κολλητὰς θύρας πυκινῶς ἀραρυίας* und den ähnlichen Gebrauch von *τυκτός, τετυγμένος, ποιητός* (zu *υ*, 366).

138. *αὐτοῦ*, daselbst, ebendaselbst, auch an der Thüre. *καλῇ κορώνῃ*, an den schönen Ringknopf des Bogens; vgl. Iliad. *δ*, 111 *χρυσέῃ κορώνῃ* und oben zu 75.

141. *ἐπιδέξια*, rechts hin, nämlich von dem 145fg. bezeichneten Anfangspunkte aus, d. i. dem Sitze des Mundschenken neben dem Mischkruge, der an der innersten Stelle des Saales zunächst an der ins Frauengemach führenden Thüre, dem Eingang vom Hofe her gegenüber, aufgestellt ist. Vgl. *ρ*, 365 *ἐνδέξια*.

142. *οἰνοχοεύει*, erg. *ᾧ τοῦτο προστέτακται, ὁ οἰνοχόος*.

144. *Λειώδης*, offenbar ein die Eigenschaften des Mannes bezeichnender Name, von *λεῖος*. Die Erklärung giebt 150fg. *χεῖρας ἀτρίπτους ἁπαλάς*. *Οἴνοψ* hiess der Vater vielleicht als *οἰνοχόος*.

145. *θυοσκόος* (von *κοέω*=*κνο-*

21 ἵζε μυχοίτατος αἰεί· ἀτασθαλίαι δέ οἱ οἴῳ
ἐχθραὶ ἔσαν, πᾶσιν δὲ νεμέσσα μνηστήρεσσιν.
ὅς ῥα τότε πρῶτος τόξον λάβε καὶ βέλος ὠκύ.
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰών, καὶ τόξου πειρήτιζεν,
150 οὐδέ μιν ἐντάνυσε· πρὶν γὰρ κάμε χεῖρας ἀνέλκων
ἀτρίπτους ἁπαλάς. μετὰ δὲ μνηστῆρσιν ἔειπεν·
„ὦ φίλοι, οὐ μὲν ἐγὼ τανύω, λαβέτω δὲ καὶ ἄλλος.
πολλοὺς γὰρ τόδε τόξον ἀριστῆας κεκαδήσει
θυμοῦ καὶ ψυχῆς· ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν
155 τεθνάμεν ἢ ζώοντας ἁμαρτεῖν οὗ θ' ἕνεκ' αἰεί
ἐνθάδ' ὁμιλέομεν, ποτιδέγμενοι ἤματα πάντα.
νῦν μέν τις καὶ ἔλπετ' ἐνὶ φρεσὶν ἠδὲ μενοινᾷ
γῆμαι Πηνελόπειαν Ὀδυσσῆος παράκοιτιν·
αὐτὰρ ἐπὴν τόξου πειρήσεται ἠδὲ ἴδηται,
160 ἄλλην δή τιν' ἔπειτα Ἀχαιιάδων εὐπέπλων
μνάσθω ἐέδνοισιν διζήμενος· ἡ δέ κ' ἔπειτα
γήμαιθ' ὅς κε πλεῖστα πόροι καὶ μόρσιμος ἔλθοι.“
ὣς ἄρ' ἐφώνησεν καὶ ἀπὸ ἕο τόξον ἔθηκεν,
κλίνας κολλητῇσιν ἐυξέστῃς σανίδεσσιν,
165 αὐτοῦ δ' ὠκὺ βέλος καλῇ προσέκλινε κορώνῃ,
ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου ἔνθεν ἀνέστη.
Ἀντίνοος δ' ἐνένιπεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
„Ἀειῶδες, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων,
δεινόν τ' ἀργαλέον τε. νεμεσσῶμαι δέ τ' ἀκούων,
170 εἰ δὴ τοῦτό γε τόξον ἀριστῆας κεκαδήσει

ἔω, νοέω, γιγνώσκω), der Opferkundige, sich auf's Opfern Verstehende, Opferer, namentlich der die Weinspenden Ordnende und dabei Betende (*χ*, 322); daher sein Platz neben dem Mischkrug.

153. *πολλοὺς γὰρ τόδε τόξον κτέ.* Eine richtige, aber vorübergehende Ahnung des Opferpriesters, an die er zwar (159—162) ein heilsamen Rath für die andern Freier knüpft, der er aber für sich selbst nach 166 = *σ*, 157 keine Folge leistet, vgl. zu *χ*, 319. — *κεκαδήσει*, nach den Einen von *χάζω* mit causativer Bedeutung: cedere faciet, wird weichen machen, berauben = *στερήσει*; nach Andern wohl richtiger von *κήδω*, gew. betrüben, eig. wohl schädigen, vgl. *ψ*, 9 *οὔ τέ οἱ οἶκον κήδεσκον.*

155. *ἁμαρτεῖν οὗ θ' ἕνεκα*, vgl. zu *γ*, 60 fg. *πρήξαντα — οὕνεκα.*

159. *πειρήσεται ἠδὲ ἴδ.*, vgl. *θ*, 213 *ἴδμεν καὶ πειρηθήμεναι ἄντην.*

161 fg. *μνάσθω — ἔλθοι* = *π*, 391 fg.

163—167. *ὣς — ὀνόμαζεν* = 136—140, mit einigen Verschiedenheiten.

170. *εἰ δὴ — κεκαδήσει*, wenn

θυμοῦ καὶ ψυχῆς, ἐπεὶ οὐ δύνασαι σὺ τανύσσαι. 21
οὐ γάρ τοι σέ γε τοῖον ἐγείνατο πότνια μήτηρ
οἷόν τε ῥυτῆρα βιοῦ τ' ἔμεναι καὶ ὀιστῶν·
ἀλλ' ἄλλοι τανύουσι τάχα μνηστῆρες ἀγαυοί."
ὣς φάτο, καί ῥ' ἐκέλευσε Μελάνθιον αἰπόλον αἰγῶν 175
„ἄγρει δή, πῦρ κῆον ἐνὶ μεγάροισι, Μελανθεῦ,
πὰρ δὲ τίθει δίφρον τε μέγαν καὶ κῶας ἐπ' αὐτοῦ,
ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν ἔνδον ἐόντος,
ὄφρα νέοι θάλποντες, ἐπιχρίοντες ἀλοιφῇ,
τόξου πειρώμεσθα καὶ ἐκτελέωμεν ἄεθλον." 180
ὣς φάθ', ὁ δ' αἶψ' ἀνέκαιε Μελάνθιος ἀκάματον πῦρ,
πὰρ δὲ φέρων δίφρον θῆκεν καὶ κῶας ἐπ' αὐτοῦ,
ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν ἔνδον ἐόντος.
τῷ ῥα νέοι θάλποντες ἐπειρῶντ'· οὐδ' ἐδύναντο
ἐντανύσαι, πολλὸν δὲ βίης ἐπιδευέες ἦσαν. 185
Ἀντίνοος δ' ἔτ' ἐπεῖχε καὶ Εὐρύμαχος θεοειδής,
ἀρχοὶ μνηστήρων· ἀρετῇ δ' ἔσαν ἔξοχ' ἄριστοι.
τὼ δ' ἐξ οἴκου βῆσαν ὁμαρτήσαντες ἅμ' ἄμφω
βουκόλος ἠδὲ συφορβὸς Ὀδυσσῆος θείοιο·
ἐκ δ' αὐτὸς μετὰ τοὺς δόμου ἦλυθε δῖος Ὀδυσσεύς. 190
ἀλλ' ὅτε δή ῥ' ἐκτὸς θυρέων ἔσαν ἠδὲ καὶ αὐλῆς,
φθεγξάμενός σφ' ἐπέεσσι προσηύδα μειλιχίοισιν

denn wirklich (wie du sagst) — berauben soll.

173. ῥυτῆρα — ὀιστῶν, vgl. σ, 262 ῥυτῆρας ὀιστῶν.

174. τανύουσι scheint Futurum, wie vielleicht auch 92 ἐντανύεσθαι.

177. τίθει δίφρον. Antinoos hat schon dieselbe Erleichterung des Schusses im Auge, die nachher 420 Odysseus benutzt, vgl. zu τ, 574.

178. ἐκ gehört zu ἔνεικε, bringe aus dem Innern des Hauses. ἔνεικε und 196 ἐνείκοι sind Aoriste derselben Bildung wie ἶξον, οἶσε, ἄξετε u. s. w.

179. θάλποντες, ἐπιχρίοντες, erg. τόξον wie 246. Der Bogen bestand aus zwei Hörnern (κέρα 395), die an ihren Wurzelenden durch einen metallenen Bügel (πῆχυς 419) verbunden waren, und war durch den langen Nichtgebrauch hart und spröde geworden; er sollte daher wieder geschmeidigt werden.

186. ἔτ' ἐπεῖχε, er hielt noch zurück, intransitiv, er mochte noch nicht daran, aus Furcht, es könnte ihm nicht besser gehen als den andern Freiern, um seinen Ruf als ἀρετῇ — ἄριστος nicht auf's Spiel zu setzen.

188. ὁμαρτήσαντες, vgl. zu ν, 87. Vielleicht hatte ihnen Odysseus einen Wink gegeben.

192. σφέ = 206, wie θ, 271 σφὲ μιγαζομένους.

„βουκόλε καὶ σύ, συφορβέ, ἔπος τί κε μυθησαίμην,
ἢ αὐτὸς κεύθω; φάσθαι δέ με θυμὸς ἀνώγει.
ποῖοί κ' εἶτ' Ὀδυσῆι ἀμυνέμεν, εἴ ποθεν ἔλθοι
ὧδε μάλ' ἐξαπίνης καί τις θεὸς αὐτὸν ἐνείκοι;
ἢ κε μνηστήρεσσιν ἀμύνοιτ' ἢ Ὀδυσῆι;
εἴπαθ' ὅπως ὑμέας κραδίη θυμός τε κελεύει."
τὸν δ' αὖτε προσέειπε βοῶν ἐπιβουκόλος ἀνήρ
„Ζεῦ πάτερ, αἰ γὰρ τοῦτο τελευτήσειας ἐέλδωρ,
ὡς ἔλθοι μὲν κεῖνος ἀνήρ, ἀγάγοι δέ ἑ δαίμων·
γνοίης χ' οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕπονται."
ὣς δ' αὔτως Εὔμαιος ἐπεύχετο πᾶσι θεοῖσιν
νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.
αὐτὰρ ἐπεὶ δὴ τῶν γε νόον νημερτέ' ἀνέγνω,
ἐξαῦτίς σφ' ἐπέεσσιν ἀμειβόμενος προσέειπεν
„ἔνδον μὲν δὴ ὅδ' αὐτὸς ἐγώ, κακὰ πολλὰ μογήσας,
ἤλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
γιγνώσκω δ' ὡς σφῶιν ἐελδομένοισιν ἱκάνω
οἵοισι δμώων· τῶν δ' ἄλλων οὔ τευ ἄκουσα
εὐξαμένου ἐμὲ αὖτις ὑπότροπον οἴκαδ' ἱκέσθαι.
σφῶιν δ', ὡς ἔσεταί περ, ἀληθείην καταλέξω.
εἴ χ' ὑπ' ἔμοιγε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυούς,
ἄξομαι ἀμφοτέροις ἀλόχους, καὶ κτήματ' ὀπάσσω
οἰκία τ' ἐγγὺς ἐμεῖο τετυγμένα· καί μοι ἔπειτα

193fg. ἔπος — ἢ — κεύθω; Beide Sätze sind fragend: Soll ich euch wohl ein Wort, etwas (das was mir im Sinne liegt) aussprechen oder es noch für mich behalten? Zur ganzen Wendung vgl. δ, 140 ψεύσομαι — θυμός.

195. ποῖοί κ' εἶτε κτέ., wie wäret ihr geeignet oder gestimmt, aufgelegt?

197. ἢ — ἢ, vgl. zu α, 175.

200—204. Ζεῦ — δόμονδε, vgl. υ, 236—239. ὡς — δαίμων ist die Erklärung von τοῦτο ἐέλδωρ. Man bemerke, wie δαίμων hier dem Ζεὺς untergeordnet ist, ein Unsterblicher.

206. ἐξαῦτις in Beziehung auf die erste Anrede 192, vgl. zu δ, 213.

207fg. ἔνδον — γαῖαν, vgl. π, 205fg. ἔνδον gehört zu ἤλυθον: in der Heimath bin ich hier selbst angekommen; also ist ἤλυθον so viel als εἰμὶ ἐλθών. Aehnlich Virg. Aen. 1, 595fg.: Coram quem quaeritis adsum Troius Aeneas, Libycis ereptis ab undis.

212. ὡς ἔσεταί περ, vgl. zu τ, 312.

213. εἰ — ἀγαυούς = τ, 488.

214. ἄξομαι, das Medium vom Herrn in Beziehung auf seine Sclaven, wie δ, 10 vom Vater für seinen Sohn. Zur Sache vgl. ξ, 63—65.

Τηλεμάχου ἑτάρω τε κασιγνήτω τε ἔσεσθον. 21
εἰ δ' ἄγε δή, καὶ σῆμα ἀριφραδὲς ἄλλο τι δείξω,
ὄφρα μ' εὖ γνῶτον πιστωθῆτόν τ' ἐνὶ θυμῷ,
οὐλὴν τήν ποτέ με σῦς ἤλασε λευκῷ ὀδόντι
Παρνησόνδ' ἐλθόντα σὺν υἱάσιν Αὐτολύκοιο." 220
ὣς εἰπὼν ῥάκεα μεγάλης ἀποέργαθεν οὐλῆς.
τὼ δ' ἐπεὶ εἰσιδέτην εὖ τ' ἐφράσσαντο ἕκαστα,
κλαῖον ἄρ' ἀμφ' Ὀδυσῆι δαΐφρονι χεῖρε βαλόντε,
καὶ κύνεον ἀγαπαζόμενοι κεφαλήν τε καὶ ὤμους.
ὣς δ' αὔτως Ὀδυσεὺς κεφαλὰς καὶ χεῖρας ἔκυσσεν. 225
καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
εἰ μὴ Ὀδυσσεὺς αὐτὸς ἐρύκακε, φώνησέν τε
„παύεσθον κλαυθμοῖο γόοιό τε, μή τις ἴδηται
ἐξελθὼν μεγάροιο, ἀτὰρ εἴπῃσι καὶ εἴσω.
ἀλλὰ προμνηστῖνοι ἐσέλθετε, μηδ' ἅμα πάντες, 230
πρῶτος ἐγώ, μετὰ δ' ὕμμες. ἀτὰρ τόδε σῆμα τετύχθω.
ἄλλοι μὲν γὰρ πάντες, ὅσοι μνηστῆρες ἀγαυοί,
οὐκ ἐάσουσιν ἐμοὶ δόμεναι βιὸν ἠδὲ φαρέτρην·
ἀλλὰ σύ, δῖ' Εὔμαιε, φέρων ἀνὰ δώματα τόξον
ἐν χείρεσσιν ἐμοὶ θέμεναι, εἰπεῖν τε γυναιξίν 235
κληῖσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας,

216. κασιγνήτω. In einem solchen Verhältniss stand Eumäos schon als Knabe zu Ktimene nach ο, 365 τῇ ὁμοῦ ἐτρεφόμην.

217. εἰ δ' ἄγε δή, vgl. zu α, 271.

218. πιστωθῆτον = πίστιν λάβητον, sicher werdet. Anders stand πιστωθῆναι ο, 436.

219fg. οὐλήν — Αὐτολύκοιο = τ, 393. 466.

221. ἀποέργαθεν, er hielt hinweg, so dass eine Zeitlang die Narbe entblösst blieb.

224. καὶ — ὤμους = ρ, 35. Der Dichter eilt, dem Drang der Ereignisse nachgebend, rasch und alle Weitschweifigkeit vermeidend der Entscheidung zu.

226. καί νυ — ἠελίοιο = π, 220.

230. προμνηστῖνοι, vgl. zu λ, 233. — μηδ' ἅμα πάντες, erg. ἐσέλθωμεν, da πάντες den Sprechenden auch mit begreift und von zweien nicht stehen könnte.

231. τόδε σ. τετύχθω, das sei unser Zeichen. Der Kampf gegen die Freier (195) soll beginnen, nachdem von Eumäos der Bogen in Odysseus Hand gelegt und unmittelbar nachher die Thüren geschlossen sein werden; beides aber geschieht 378—391.

233. ἐάσουσιν, dreisylbig zu lesen, denn α ist lang.

234. ἀνὰ δώματα = ἀνὰ μέγαρα, durch den Saal hin, der 238 durch ἕρκεα bezeichnet wird.

235. εἰπεῖν γυναιξίν, vgl. 380ff.

236. μεγάροιο, des Frauenge-

21 ἢν δέ τις ἢ στοναχῆς ἠὲ κτύπου ἔνδον ἀκούσῃ
ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι, μή τι θύραζε
προβλώσκειν, ἀλλ᾽ αὐτοῦ ἀκὴν ἔμεναι παρὰ ἔργῳ.
240 σοὶ δέ, Φιλοίτιε δῖε, θύρας ἐπιτέλλομαι αὐλῆς
κληῖσαι κληῖδι, θοῶς δ᾽ ἐπὶ δεσμὸν ἰῆλαι."
ὣς εἰπὼν εἰσῆλθε δόμους εὖ ναιετάοντας·
ἕζετ᾽ ἔπειτ᾽ ἐπὶ δίφρον ἰών, ἔνθεν περ ἀνέστη.
ἐς δ᾽ ἄρα καὶ τὼ δμῶε ἴτην θείου Ὀδυσῆος.
245 Εὐρύμαχος δ᾽ ἤδη τόξον μετὰ χερσὶν ἐνώμα,
θάλπων ἔνθα καὶ ἔνθα σέλαι πυρός. ἀλλά μιν οὐδ᾽ ὧς
ἐντανύσαι δύνατο, μέγα δ᾽ ἔστενε κυδάλιμον κῆρ.
ὀχθήσας δ᾽ ἄρα εἶπεν, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
„ὦ πόποι, ἦ μοι ἄχος περί τ᾽ αὐτοῦ καὶ περὶ πάντων.
250 οὔ τι γάμου τοσσοῦτον ὀδύρομαι ἀχνύμενός περ·
εἰσὶ καὶ ἄλλαι πολλαὶ Ἀχαιΐδες, αἱ μὲν ἐν αὐτῇ
ἀμφιάλῳ Ἰθάκῃ, αἱ δ᾽ ἄλλῃσιν πολίεσσιν·
ἀλλ᾽ εἰ δὴ τοσσόνδε βίης ἐπιδευέες εἰμέν
ἀντιθέου Ὀδυσῆος, ὅτ᾽ οὐ δυνάμεσθα τανύσσαι
255 τόξον· ἐλεγχείη δὲ καὶ ἐσσομένοισι πυθέσθαι."
τὸν δ᾽ αὖτ᾽ Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
„Εὐρύμαχ᾽, οὐχ οὕτως ἔσται· νοέεις δὲ καὶ αὐτός.

maches (gegen den Männersaal), worin Eurykleia mit den Mägden arbeitet.

237. *τίς*, eines der Weiber; *ἀνδρῶν* aber hängt von *στοναχῆς* und *κτύπου* ab. *ἔνδον* parallel mit *ἡμετ. ἐν ἕρκεσι*, drinnen in unserem Verschloss, innerhalb unserer Wände.

238 fg. *μή τι — προβλώσκειν κτέ.* ist auch noch von *εἰπεῖν γυναιξὶν* 235 regiert.

241. *ἐπὶ δεσμὸν ἰῆλαι*, erg. *ταῖς θύραις*, wie 391 *ᾧ (ὅπλῳ) ἐπέδησε θύρας*. Vgl. zu *θ*, 443 und ebendas. 448 fg.

246. *σέλαι πυρός*, vgl. zu *κ*, 316 *δέπαι*. Iliad. *ρ*, 739 steht diese Dativform (*σέλαϊ*) noch dreisylbig.

248. *ἔκ τ᾽ ὀνόμαζεν*, vgl. zu *η*, 330.

249. *περί τ᾽ αὐτοῦ*, d. i. *ἐμοῦ αὐτοῦ*.

253. *ἀλλ᾽ εἰ δή*, d. i. *ἀλλὰ τοῦτο ὀδύρομαι εἰ δὴ κτέ.* Eigentlich hätte auf *τοσσοῦτον* folgen sollen *ὅσον ὅτι* oder *εἰ — ἐπιδευέες εἰμέν*.

254. *ὅτ᾽ οὐ δυνάμεσθα*, als sich ergiebt, als man denken muss, weil wir nicht im Stande sind; vgl. zu *ε*, 340 *ὅτι τοι κακὰ πολλὰ φυτεύει*.

255. *καὶ ἐσσομένοισι πυθέσθαι* = *γ*, 204.

257. *οὐχ οὕτως ἔσται*, d. h. diese Schande wird (soll) nicht über uns kommen. — *νοέεις — αὐτός*, ein Ausdruck der Höflichkeit.

νῦν μὲν γὰρ κατὰ δῆμον ἑορτὴ τοῖο θεοῖο 21
ἁγνή· τίς δέ κε τόξα τιταίνοιτ'; ἀλλὰ ἕκηλοι
κάτθετ'. ἀτὰρ πελέκεάς γε καὶ εἴ κ' εἰῶμεν ἅπαντας 260
ἑστάμεν· οὐ μὲν γάρ τιν' ἀναιρήσεσθαι ὀίω,
ἐλθόντ' ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
ἀλλ' ἄγετ', οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν,
ὄφρα σπείσαντες καταθείομεν ἀγκύλα τόξα·
ἠῶθεν δὲ κέλεσθε Μελάνθιον αἰπόλον αἰγῶν 265
αἶγας ἄγειν, αἳ πᾶσι μέγ' ἔξοχοι αἰπολίοισιν,
ὄφρ' ἐπὶ μηρία θέντες Ἀπόλλωνι κλυτοτόξῳ
τόξου πειρώμεσθα καὶ ἐκτελέωμεν ἄεθλον."
ὣς ἔφατ' Ἀντίνοος, τοῖσιν δ' ἐπιήνδανε μυθος.
τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν, 270
κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο,
νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν.
οἱ δ' ἐπεὶ οὖν σπείσάν τ' ἔπιόν θ' ὅσον ἤθελε θυμός,
τοῖς δὲ δολοφρονέων μετέφη πολύμητις Ὀδυσσεύς
„κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης· 275
[ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει·]
Εὐρύμαχον δὲ μάλιστα καὶ Ἀντίνοον θεοειδέα

258. *νῦν — ἑορτή*, vgl. *υ*, 276—278, Begründung der abmahnenden Frage *τίς — τιταίνοιτο; — τοῖο θεοῖο*, dieses Gottes, des Bogengottes Apollon, vgl. 267. 338. 364fg. *χ*, 7. Das Fest ist dem Antinoos ein erwünschter Vorwand, um den Versuchen des Bogenspannens für heute ein Ende zu machen, als ob demselben nach seiner speciellen Bestimmung und herkömmlichen Formen durch jenes ein Abbruch geschähe. — Nach Schol. Aristoph. Plut. 1126 war auch in Athen jeder Neumond sowie der siebente Tag des Monats dem Apollon heilig.

260. *πελέκεάς γε καὶ εἴ κ' εἰῶμεν κτέ.*, wenn wir auch alle stehen lassen, nämlich: so hat es nichts zu sagen, so haben wir uns darüber nicht zu beunruhigen (*οὐ κῆδος αὐτῶν* nach *χ*, 254), also: die Aexte aber können, wollen wir alle stehen lassen. Vgl. zu Iliad. *κ*, 111 *ἀλλ' εἴ τις — καλέσειεν.*

261. *ἀναιρεῖσθαι*, aufheben und davontragen, wegnehmen.

263fg. *ἀλλ' ἄγετ', οἰνοχόος κτέ.*, vgl. *σ*. 418. Auch der heutige Tag soll doch mit der üblichen Spende geschlossen werden, vgl. *γ*, 333. *η*, 181.

266. *πᾶσι μέγ' ἔξοχοι*, vgl. *ο*, 227 *Πυλίοισι μέγ' ἔξοχα* und zu *α*, 71.

270—272. *τοῖσι — δεπάεσσιν* = *γ*, 338—340, wo auch 342 unserm 273 entspricht.

276. *ὄφρ' — κελεύει* wird hier nach guten Zeugnissen richtiger weggelassen.

21 λίσσομ', ἐπεὶ καὶ τοῦτο ἔπος κατὰ μοῖραν ἔειπεν,
νῦν μὲν παῦσαι τόξον, ἐπιτρέψαι δὲ θεοῖσιν·
280 ἠῶθεν δὲ θεὸς δώσει κράτος ᾧ κ' ἐθέλῃσιν.
ἀλλ' ἄγ' ἐμοὶ δότε τόξον ἐύξοον, ὄφρα μεθ' ὑμῖν
χειρῶν καὶ σθένεος πειρήσομαι, ἤ μοι ἔτ' ἔστιν
ἷς, οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν,
ἦ ἤδη μοι ὄλεσσεν ἄλη τ' ἀκομιστίη τε."
285 ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ὑπερφιάλως νεμέσησαν,
δείσαντες μὴ τόξον ἐύξοον ἐντανύσειεν.
Ἀντίνοος δ' ἐνένιπεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
„ἆ δειλὲ ξείνων, ἔνι τοι φρένες οὐδ' ἠβαιαί.
οὐκ ἀγαπᾷς ὃ ἕκηλος ὑπερφιάλοισι μεθ' ἡμῖν
290 δαίνυσαι, οὐδέ τι δαιτὸς ἀμέρδεαι, αὐτὰρ ἀκούεις
μύθων ἡμετέρων καὶ ῥήσιος; οὐδέ τις ἄλλος
ἡμετέρων μύθων ξεῖνος καὶ πτωχὸς ἀκούει.
οἶνός σε τρώει μελιηδής, ὅς τε καὶ ἄλλους
βλάπτει, ὃς ἄν μιν χανδὸν ἕλῃ μηδ' αἴσιμα πίνῃ.
295 οἶνος καὶ Κένταυρον ἀγακλυτὸν Εὐρυτίωνα
ἄασ' ἐνὶ μεγάρῳ μεγαθύμου Πειριθόοιο,

278. ἐπεὶ — ἔειπεν, nämlich der zuletzt und mit einem ehrenden Beiwort genannte Antinoos. τοῦτο ἔπος, vgl. 258 — 268.

279. ἐπιτρέψαι δ. θ. = τ, 502. Die beiden Infinitive geben den etwas erweiterten Inhalt von τοῦτο ἔπος an.

280. ἠῶθεν δὲ κτέ. Weitere parenthetische Ausführung des ἐπιτρέψαι θεοῖσιν.

281 — 284. ἀλλ' ἄγ' ἐμοὶ δότε κτέ. Dies ist was Odysseus sich von den Freiern erbitten will (λίσσομαι 278).

283. οἵη — μέλεσσιν = λ, 394.

284. ἀκομιστίη. Ueber die Länge der vorletzten Sylbe vgl. zu ν, 142 ἀτιμίῃσιν.

285. ὣς — νεμέσησαν = ρ, 481.

288. ἆ δειλὲ ξείνων stand in anderm Sinne ξ, 361; unserer Stelle entsprechend ist oben 86 ἆ δειλώ. — ἔνι — ἠβαιαί, nach Iliad. ξ, 141 (vgl. Od. σ, 355) ἐπεὶ οὔ οἱ ἔνι φρένες, οὐδ' ἠβαιαί.

289. ὑπερφίαλος muss hier in entschieden gutem Sinne gebraucht sein: gewaltig. Vgl. Herodot. 9, 78: ἔργον ἔργασταί τοι ὑπερφυὲς μέγαθός τε καὶ κάλλος. 6, 127: Τιτόρμου τοῦ ὑπερφύντος Ἕλληνας ἰσχύι.

290. ἀμέρδεαι, vgl. zu θ, 64.

293 fg. ὅς τε — βλάπτει. Unschuldigere Wirkungen des Weines werden ξ, 463 — 466 geschildert. Aber auch anderswo (Iliad. α, 225. Od. γ, 139) unterlässt es der Dichter nicht, auf die entsittlichende Wirkung übermässigen und unzeitigen Weingenusses hinzuweisen.

294. αἴσιμα, mit Mass, also auch mit Verstand.

295. Εὐρυτίων, sonst auch Εὔρυτος (Ovid. Metam. 12, 220), wollte

ἐς Λαπίθας ἐλθόνθ'. ὁ δ' ἐπεὶ φρένας ἄασεν οἴνῳ, 21
μαινόμενος κάκ' ἔρεξε δόμον κάτα Πειριθόοιο.
ἥρωας δ' ἄχος εἷλε, διὲκ προθύρου δὲ θύραζε
ἕλκον ἀναΐξαντες, ἀπ' οὔατα νηλέι χαλκῷ 300
ῥῖνάς τ' ἀμήσαντες· ὁ δὲ φρεσὶν ᾗσιν ἀασθείς
ᾔιεν ἣν ἄτην ὀχέων ἀεσίφρονι θυμῷ.
ἐξ οὗ Κενταύροισι καὶ ἀνδράσι νεῖκος ἐτύχθη,
οἳ δ' αὐτῷ πρώτῳ κακὸν εὕρετο οἰνοβαρείων.
ὣς καὶ σοὶ μέγα πῆμα πιφαύσκομαι, αἴ κε τὸ τόξον 305
ἐντανύσῃς. οὐ γάρ τευ ἐπητύος ἀντιβολήσεις
ἡμετέρῳ ἐνὶ δήμῳ, ἄφαρ δέ σε νηὶ μελαίνῃ
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,
πέμψομεν· ἔνθεν δ' οὔ τι σαώσεαι. ἀλλὰ ἕκηλος
πῖνέ τε μηδ' ἐρίδαινε μετ' ἀνδράσι κουροτέροισιν." 310
τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια
„Ἀντίνοε, οὐ μὲν καλὸν ἀτέμβειν, οὐδὲ δίκαιον,
ξείνους Τηλεμάχου, ὅς κεν τάδε δώμαθ' ἵκηται.
ἔλπεαι, αἴ χ' ὁ ξεῖνος Ὀδυσσῆος μέγα τόξον
ἐντανύσῃ χερσίν τε βίηφί τε ἧφι πιθήσας, 315
οἴκαδέ μ' ἄξεσθαι καὶ ἑὴν θήσεσθαι ἄκοιτιν;
οὐδ' αὐτός που τοῦτό γ' ἐνὶ στήθεσσιν ἔολπεν·
μηδέ τις ὑμείων τοῦ γ' εἵνεκα θυμὸν ἀχεύων

an der Hochzeit des Lapithen Peirithoos dessen Neuvermählte Hippodameia — in der ursprünglichen Sage wohl eine Kentaurentochter — entführen.

300. *ἕλκον*, erg. *Εὐρυτίωνα*.

302. *ἣν ἄτην ὀχέων*, seine Schuld, die Strafe seines Frevels an sich tragend, vgl. *λ*, 619 *ὅν περ* (*κακὸν μόρον*) *ἐγὼν ὀχέεσκον*.

303. *ἐξ οὗ* = *α*, 74 *ἐκ τοῦ δή*. Dies ist die einzige homerische Stelle, wo die Kentauren bestimmt den Menschen als solchen entgegengesetzt werden. Sonst sind wohl jene mit Buttmann als nomadisches Reitervolk (*κέντορες ἵππων*) zu deuten, die ihnen benachbarten Lapithen aber, durch die sie immer mehr in die Berge gedrängt wurden, als ruhige Städteerbauer (*λᾶας πιθόντες*, Steineüberreder.

306. *οὐ γάρ τευ ἐπητύος*. *τευ* ist Masculinum und von *ἐπητύος* abhängig, vgl. zu *β*, 206 *εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν*.

307 fg. *νηὶ — πάντων πέμψ.*, vgl. *σ*, 84 fg.

310. *κουροτέροισιν* ist zu vergleichen mit *θηλύτερος*, *ἀγρότερος* u. s. w. und erinnert auch an die militärische Eintheilung des römischen Volkes in iuniores und seniores.

312 fg. *οὐ μὲν καλὸν — ἵκηται* vgl. *υ*, 294 fg.

318. *τοῦ γ' εἵνεκα* gehört zu

21 ἐνθάδε δαινύσθω, ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικεν."
320 τὴν δ' αὖτ' Εὐρύμαχος Πολύβου παῖς ἀντίον ηὔδα
„κούρη Ἰκαρίοιο περίφρον Πηνελόπεια,
οὔ τί σε τόνδ' ἄξεσθαι ὀιόμεθ', οὐδὲ ἔοικεν·
ἀλλ' αἰσχυνόμενοι φάτιν ἀνδρῶν ἠδὲ γυναικῶν,
μή ποτέ τις εἴπῃσι κακώτερος ἄλλος Ἀχαιῶν
325 ,ἦ πολὺ χείρονες ἄνδρες ἀμύμονος ἀνδρὸς ἄκοιτιν
μνῶνται, οὐδέ τι τόξον ἐύξοον ἐντανύουσιν·
ἀλλ' ἄλλος τις πτωχὸς ἀνὴρ ἀλαλήμενος ἐλθών
ῥηιδίως ἐτάνυσσε βιόν, διὰ δ' ἧκε σιδήρου.'
ὣς ἐρέουσ', ἡμῖν δ' ἂν ἐλέγχεα ταῦτα γένοιτο."
330 τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια
„Εὐρύμαχ', οὔ πως ἔστιν ἐυκλεΐας κατὰ δῆμον
ἔμμεναι οἳ δὴ οἶκον ἀτιμάζοντες ἔδουσιν
ἀνδρὸς ἀριστῆος· τί δ' ἐλέγχεα ταῦτα τίθεσθε;
οὗτος δὲ ξεῖνος μάλα μὲν μέγας ἠδ' εὐπηγής,
335 πατρὸς δ' ἐξ ἀγαθοῦ γένος εὔχεται ἔμμεναι υἱός.
ἀλλ' ἄγε οἱ δότε τόξον ἐύξοον, ὄφρα ἴδωμεν.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
εἴ κέ μιν ἐντανύσῃ, δώῃ δέ οἱ εὖχος Ἀπόλλων,
ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε εἵματα καλά,
340 δώσω δ' ὀξὺν ἄκοντα, κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν,
καὶ ξίφος ἀμφήκες· δώσω δ' ὑπὸ ποσσὶ πέδιλα,
πέμψω δ' ὅππῃ μιν κραδίη θυμός τε κελεύει."
τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα

ἀχεύων.

319. ἐπεὶ οὐδὲ κτέ. Vgl. zu ε, 212 ἐπεὶ οὔ πως οὐδὲ ἔοικεν.

323. ἀλλ' αἰσχυνόμενοι, erg. οὕτω ποιοῦμεν (ἀτέμβομεν τὸν Τηλεμάχου ξεῖνον nach 312 fg.).

324. μή ποτε — κακώτερος, vgl. ζ, 275.

325. πολὺ χείρονες, nämlich als der durch ἀμύμονος ἀνδρὸς bezeichnete Odysseus. Den Grund jener Benennung enthält οὐδέ τι — ἐντανύουσιν.

331 fg. ἐυκλεΐας — ἔμμεναι (τούτους) οἳ — ἔδουσιν ist Subject zu οὔ πως ἔστιν.

333. τί δ' ἐλ. — τίθεσθε; warum denn — wie könnt ihr denn dieses für Schande halten? mit Beziehung auf 329.

335. γένος εὔχεται, vgl. zu ξ, 199. υἱὸς ist specieller als γένος.

337. ὧδε — ἔσται = τ, 487.

339—342. ἕσσω — κελεύει, etwas erweitert aus π, 79—81, vgl. ξ, 531.

„μῆτερ ἐμή, τόξον μὲν Ἀχαιῶν οὔ τις ἐμεῖο 21
κρείσσων, ᾧ κ᾽ ἐθέλω, δόμεναί τε καὶ ἀρνήσασθαι, 345
οὔθ᾽ ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσιν,
οὔθ᾽ ὅσσοι νήσοισι πρὸς Ἤλιδος ἱπποβότοιο·
τῶν οὔ τίς μ᾽ ἀέκοντα βιήσεται, αἴ κ᾽ ἐθέλωμι
καὶ καθάπαξ ξείνῳ δόμεναι τάδε τόξα φέρεσθαι.
ἀλλ᾽ εἰς οἶκον ἰοῦσα τὰ σ᾽ αὐτῆς ἔργα κόμιζε, 350
ἱστόν τ᾽ ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ἔργον ἐποίχεσθαι. τόξον δ᾽ ἄνδρεσσι μελήσει
πᾶσι, μάλιστα δ᾽ ἐμοί· τοῦ γὰρ κράτος ἔστ᾽ ἐνὶ οἴκῳ.“
ἡ μὲν θαμβήσασα πάλιν οἰκόνδε βεβήκει·
παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ. 355
ἐς δ᾽ ὑπερῷ᾽ ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν
κλαῖεν ἔπειτ᾽ Ὀδυσῆα φίλον πόσιν, ὄφρα οἱ ὕπνον
ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.
αὐτὰρ ὁ τόξα λαβὼν φέρε καμπύλα δῖος ὑφορβός.
μνηστῆρες δ᾽ ἄρα πάντες ὁμόκλεον ἐν μεγάροισιν· 360
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
„πῇ δὴ καμπύλα τόξα φέρεις, ἀμέγαρτε συβῶτα,
πλαγκτέ; τάχ᾽ αὖ σ᾽ ἐφ᾽ ὕεσσι κύνες ταχέες κατέδονται
οἷον ἀπ᾽ ἀνθρώπων, οὓς ἔτρεφες, εἴ κεν Ἀπόλλων
ἡμῖν ἱλήκῃσι καὶ ἀθάνατοι θεοὶ ἄλλοι.“ 365

344fg. *τόξον* hängt von *δόμεναι* und *ἀρνήσασθαι* ab, diese Infinitive aber von *κρείσσων*. *οὔ τις — κρείσσων*, d. i. *οὔ τινος μᾶλλον κράτος ἐστί* (353), *οὔ τις μᾶλλον ἐγκρατὴς ἢ ἐγώ*.

346fg. *οὔθ᾽ ὅσσοι — ἱπποβότοιο*, vgl. *α*, 245—247.

349. *καὶ καθάπαξ*, auch Ein für alle Mal, gänzlich, für immer.

350—353. *ἀλλ᾽ — οἴκῳ*, vgl. zu *α*, 356—359.

354—358. = *α*, 360—364. Sehr zweckmässig wird auf diese Weise Penelope vor dem beginnenden Kampfe entfernt, so förderlich auch ihre bisherige Gegenwart war; denn bei der Mordscene durfte sie nicht zugegen oder auch nur wach sein. Ihr Schicksal entscheidet sich, während sie ruhig schläft.

359. *λαβὼν φέρε*, um ihn nach der 234fg. erhaltenen Anweisung dem Odysseus in die Hand zu geben.

360. *ὁμόκλεον*, compellarunt, sie riefen ihn (drohend und scheltend 368) an.

361. *ὧδε — ὑπερηνορ.* = *β*, 324.

362. *πῇ δὴ — συβῶτα*, vgl. *ρ*, 219.

363. *ἐφ᾽ ὕεσσι*, beim Hüten der Säue, vgl. *υ*, 209 *ὅς μ᾽ ἐπὶ βουσὶν εἶσε*.

364. *οὓς ἔτρεφες*, nachträgliche Bestimmung zu *κύνες ταχέες*, um die Vorstellung von dem Kläglichen seines Schicksals zu erhöhen. — *εἴ κεν Ἀπόλλων κτέ.* Wenn sie den

21 ὣς φάσαν, αὐτὰρ ὁ θῆκε φέρων αὐτῇ ἐνὶ χώρῃ,
δείσας, οὕνεκα πολλοὶ ὁμόκλεον ἐν μεγάροισιν.
Τηλέμαχος δ᾽ ἑτέρωθεν ἀπειλήσας ἐγεγώνει
„ἄττα, πρόσω φέρε τόξα· τάχ᾽ οὐκ εὖ πᾶσι πιθήσεις·
370 μή σε καὶ ὁπλότερός περ ἐὼν ἀγρόνδε δίωμαι,
βάλλων χερμαδίοισι· βίηφι δὲ φέρτερός εἰμι.
αἴ γὰρ πάντων τόσσον, ὅσοι κατὰ δώματ᾽ ἔασιν,
μνηστήρων χερσίν τε βίηφί τε φέρτερος εἴην·
τῷ κε τάχα στυγερῶς τιν᾽ ἐγὼ πέμψαιμι νέεσθαι
375 ἡμετέρου ἐξ οἴκου, ἐπεὶ κακὰ μηχανόωνται.“
ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα πάντες ἐπ᾽ αὐτῷ ἡδὺ γέλασσαν
μνηστῆρες, καὶ δὴ μέθιεν χαλεποῖο χόλοιο
Τηλεμάχῳ. τὰ δὲ τόξα φέρων ἀνὰ δῶμα σύβωτης
ἐν χείρεσσ᾽ Ὀδυσῆι δαΐφρονι θῆκε παραστάς.
380 ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρύκλειαν
„Τηλέμαχος κέλεταί σε, περίφρων Εὐρύκλεια,
κληῖσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας,
ἢν δέ τις ἢ στοναχῆς ἠὲ κτύπου ἔνδον ἀκούσῃ
ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι, μή τι θύραζε
385 προβλώσκειν, ἀλλ᾽ αὐτοῦ ἀκὴν ἔμεναι παρὰ ἔργῳ.“
ὣς ἄρ᾽ ἐφώνησεν, τῇ δ᾽ ἄπτερος ἔπλετο μῦθος,
κλῄσεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων.

Kampf siegreich bestanden haben (d. h. einer von ihnen), wollen sie den Eumäos auf seinem Gehöfte umbringen und den Leichnam seinen eigenen Hunden vorwerfen; vgl. χ, 30 τῷ δ᾽ ἐνθάδε γῦπες ἔδονται.

366. αὐτῇ ἐνὶ χώρῃ, statim, auf derselben Stelle, wo er gerade war.

369. ἄττα, wie er den Eumäos auch π, 31. 57 angeredet hatte. — τάχ᾽ — πιθήσεις, d. h. bald sollst du erfahren, dass es einem übel bekommt, wenn man Allen gehorchen, es Allen recht machen will.

370. ὁπλότερος, hier ausschliesslich vom Alter, vgl. zu γ, 465.

372. τόσσον, erg. ὅσον σοῦ.

374. τινά, erg. αὐτῶν, τῶν μνηστήρων.

376 fg. ἡδὺ γέλασσαν — μέθιεν. Sie mögen behaglich lachen und werden dem Telemach wieder gut, weil er den Eumäos so kräftig zurechtweist und ihre eigene Ueberlegenheit anerkennt (372 f.).

380 fg. Εὐρύκλειαν = τ, 15. Verständig wendet er sich an diese, nicht an die Weiber überhaupt, was er nach 235 hätte thun können. Ebenso klug ist es, dass er sich auf Telemach, nicht auf Odysseus beruft, da er nicht voraussetzen konnte, dass Eurykleia diesen schon erkannt habe (τ, 468).

382 — 385. κληῖσαι — ἔργῳ = 236 — 239.

386. ὣς — μῦθος, vgl. zu ρ, 57. Dieser und der folgende Vers sind

σιγῇ δ' ἐξ οἴκοιο Φιλοίτιος ἆλτο θύραζε, 21
κλήισεν δ' ἄρ' ἔπειτα θύρας εὐερκέος αὐλῆς.
κεῖτο δ' ὑπ' αἰθούσῃ ὅπλον νεὸς ἀμφιελίσσης 390
βύβλινον, ᾧ ῥ' ἐπέδησε θύρας, ἐς δ' ἤιεν αὐτός.
ἕζετ' ἔπειτ' ἐπὶ δίφρον ἰών, ἔνθεν περ ἀνέστη,
εἰσορόων Ὀδυσῆα. ὁ δ' ἤδη τόξον ἐνώμα
πάντῃ ἀναστρωφῶν, πειρώμενος ἔνθα καὶ ἔνθα,
μὴ κέρα ἶπες ἔδοιεν ἀποιχομένοιο ἄνακτος. 395
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
„ἦ τις θηητὴρ καὶ ἐπίκλοπος ἔπλετο τόξων.
ἤ ῥά νύ που τοιαῦτα καὶ αὐτῷ οἴκοθι κεῖται,
ἢ ὅ γ' ἐφορμᾶται ποιησέμεν, ὡς ἐνὶ χερσίν
νωμᾷ ἔνθα καὶ ἔνθα κακῶν ἔμπαιος ἀλήτης." 400
ἄλλος δ' αὖτ' εἴπεσκε νέων ὑπερηνορεόντων
„αἰ γὰρ δὴ τοσσοῦτον ὀνήσιος ἀντιάσειεν
ὡς οὗτός ποτε τοῦτο δυνήσεται ἐντανύσασθαι."
ὣς ἄρ' ἔφαν μνηστῆρες· ἀτὰρ πολύμητις Ὀδυσσεύς,
αὐτίκ' ἐπεὶ μέγα τόξον ἐβάστασε καὶ ἴδε πάντῃ, 405
ὡς ὅτ' ἀνὴρ φόρμιγγος ἐπιστάμενος καὶ ἀοιδῆς
ῥηιδίως ἐτάνυσσε νέῳ περὶ κόλλοπι χορδήν,

verbunden auch τ, 29 fg.

388 fg. σιγῇ — αὐλῆς, nach dem 240 fg. ertheilten Befehle. Es wurde also das äussere, nach der Strasse führende Hofthor verschlossen, vgl. ψ, 135—138. — ἐξ οἴκοιο wie 188.

390 fg. ὅπλον — βύβλινον, ein Tau (Kabeltau) aus Byblosbast, also ohne Zweifel sehr stark. Vgl. Herod. 7, 25: παρεσκευάζετο δὲ καὶ ὅπλα ἐς τὰς γεφύρας βύβλινά τε καὶ λευκολίνου.

391. ἐπέδησε (ἐπιδέω), zuband, festband (von innen), vgl. 241 ἐπὶ δεσμὸν ἴῃλαι.

392. ἕζετ' — ἀνέστη = 243.

395. μὴ — ἔδοιεν, ob nicht etwa — zernagt, zerfressen hätten, vgl. zu 179. — ἶψ (von ἴπτομαι) mit der Nebenform ἶξ (vgl. das lat. icere), der Stecher, Nager, Bohrer (Holzbohrer).

397. ἦ τις θηητὴρ κτέ., traun ein schlauer Beschauer des Bogens ist der geworden, ist da gekommen. Die Freier spotten des Odysseus, da sie ihn so lange nichts mit dem Bogen vornehmen sehen, in der Meinung, er könne eben nichts anderes, als ihn beschauen; vgl. 402 fg. Zu καὶ ἐπίκλοπος vgl. λ, 364 ἠπεροπῆά τ' ἔμεν καὶ ἐπίκλοπον. Iliad. χ, 281. — Bekker liest übrigens θηρητήρ, Jäger, statt θηητήρ.

400. κακῶν ἔμπαιος, nur auf Schlechtes sich verstehend; zu ἔμπαιος vgl. υ, 379.

402 fg. τοσσοῦτον ὡς = οὕτως ὡς, ebensosehr, in demselben Masse als, d. h. hier: nicht mehr als. Subject zu ἀντιάσειεν ist ebenfalls οὗτος. Ueber die ganze Wendung vgl. zu ι, 523.

407. νέῳ περὶ κόλλοπι, um den

ἅψας ἀμφοτέρωθεν ἐυστρεφὲς ἔντερον οἰός,
ὣς ἄρ᾽ ἄτερ σπουδῆς τάνυσεν μέγα τόξον Ὀδυσσεύς.
δεξιτερῇ δ᾽ ἄρα χειρὶ λαβὼν πειρήσατο νευρῆς·
ἡ δ᾽ ὑπὸ καλὸν ἄεισε, χελιδόνι εἰκέλη αὐδήν.
μνηστῆρσιν δ᾽ ἄρ᾽ ἄχος γένετο μέγα, πᾶσι δ᾽ ἄρα χρὼς
ἐτράπετο. Ζεὺς δὲ μεγάλ᾽ ἔκτυπε σήματα φαίνων·
γήθησέν τ᾽ ἄρ᾽ ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς,
ὅττι ῥά οἱ τέρας ἧκε Κρόνου παῖς ἀγκυλομήτεω.
εἵλετο δ᾽ ὠκὺν ὀιστόν, ὅ οἱ παρέκειτο τραπέζῃ
γυμνός· τοὶ δ᾽ ἄλλοι κοίλης ἔντοσθε φαρέτρης
κείατο, τῶν τάχ᾽ ἔμελλον Ἀχαιοὶ πειρήσεσθαι.
τόν ῥ᾽ ἐπὶ πήχει ἕλων ἕλκεν νευρὴν γλυφίδας τε,
αὐτόθεν ἐκ δίφροιο καθήμενος, ἧκε δ᾽ ὀιστόν
ἄντα τιτυσκόμενος, πελέκεων δ᾽ οὐκ ἤμβροτε πάντων
πρώτης στειλειῆς, διὰ δ᾽ ἀμπερὲς ἦλθε θύραζε
ἰὸς χαλκοβαρής. ὁ δὲ Τηλέμαχον προσέειπεν
„Τηλέμαχ᾽, οὔ σ᾽ ὁ ξεῖνος ἐνὶ μεγάροισιν ἐλέγχει

neuen Wirbel (den kleinen Pflock oder Stift, durch dessen Umdrehen die Saiten an der Lyra gespannt werden), der in seiner runden Oeffnung noch festhält und nicht so leicht zurückspringt wie ein schon vielgebrauchter.

408. *ἅψας ἀμφοτέρωθεν*, nachdem er auf beiden Seiten, an beiden Enden, angeknüpft, festgebunden, nämlich zuerst hinter dem Stege und dann am Wirbel.

409. *τάνυσεν* = *ἐνετάνυσεν* in dem zu 75 erklärten Sinne.

410. *πειρήσατο νευρῆς*, er versuchte die nunmehr aufgespannte Sehne, indem er sie anzog und losliess, um zu sehen, ob sie noch kräftig genug sei; „er zog sie empor, um sie (bei'm Loslassen) klingen zu lassen.“ Minckwitz.

411. *ὑπὸ — ἄεισε*, sie sang lieblich dazu, dabei. — *αὐδή*, hier die bedeutungsvolle, gleichsam weissagende Stimme, die darum auch die Freier mit Schrecken erfüllt.

413. *μεγάλ᾽ ἔκτυπε κτέ.*, vgl. *υ*, 103 fg. 113 fg.

419. *τὸν ἐπὶ πήχει ἕλων*, den am Bügel des Bogens, der gleichsam auch einen Griff bildet (vgl. zu 179) festhaltend (nachdem er ihn nämlich vorher auf Sehne und Bügel aufgelegt), damit er sich nicht verschiebe. — *νευρὴν γλυφίδας τε*, die Sehne und die Kerben, Einschnitte, d. h. den hintern Theil des Pfeiles mit den vier Einschnitten (in die Länge), worein die Federn eingefügt werden. Vgl. zu Iliad. *δ*, 122: *ἕλκε δ᾽ ὁμοῦ γλυφίδας τε λαβὼν καὶ νεῦρα βόεια* und ebend. zu 117.

420. *ἐκ δίφροιο*, von der (niedrigen) Bank aus, vgl. zu *τ*, 574.

422. *πρώτης στειλειῆς*, Genitiv des Ausgangspunktes: von dem vordersten Oehr an (*ἀρξάμενος*). — *θύραζε*, *ἔξω*, *διὰ τῆς ἐσχάτης στειλειῆς*.

ἥμενος, οὐδέ τι τοῦ σκοποῦ ἤμβροτον, οὐδέ τι τόξον 21
δὴν ἔκαμον τανύων· ἔτι μοι μένος ἔμπεδόν ἐστιν, 426
οὐχ ὥς με μνηστῆρες ἀτιμάζοντες ὄνονται.
νῦν δ' ὥρη καὶ δόρπον Ἀχαιοῖσιν τετυκέσθαι
ἐν φάει, αὐτὰρ ἔπειτα καὶ ἄλλως ἐψιάασθαι
μολπῇ καὶ φόρμιγγι· τὰ γάρ τ' ἀναθήματα δαιτός." 430
ἦ, καὶ ἐπ' ὀφρύσι νεῦσεν. ὁ δ' ἀμφέθετο ξίφος ὀξὺ
Τηλέμαχος φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
ἀμφὶ δὲ χεῖρα φίλην βάλεν ἔγχεϊ, ἄγχι δ' ἄρ' αὐτοῦ
πὰρ θρόνον ἑστήκει κεκορυθμένος αἴθοπι χαλκῷ.

XXII.

αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς, X
ἆλτο δ' ἐπὶ μέγαν οὐδὸν ἔχων βιὸν ἠδὲ φαρέτρην
ἰῶν ἐμπλείην, ταχέας δ' ἐκχεύατ' ὀιστοὺς
αὐτοῦ πρόσθε ποδῶν, μετὰ δὲ μνηστῆρσιν ἔειπεν

425. οὐδέ τι — τανύων, noch habe ich mich irgend mit dem Spannen des Bogens lange ermüdet, vergeblich angestrengt; vgl. 150.

427. οὐχ ὥς με, eine bei Spätern häufigere brachylogische Wendung, = οὐ γὰρ οὕτως ἔχω ὥς με — ὄνονται, οὐδὲ τοιοῦτός εἰμι οἷόν με — ὄνονται. Vgl. ω, 199.

428. δόρπον — τετυκέσθαι, das Spätmahl bereiten. Eine bitter ironische Bezeichnung der Ermordung, vgl. υ, 392fg. Indessen muss man sich nach χ, 9—14 auch ein wirkliches δόρπον als Fortsetzung des vorhergegangenen δεῖπνον (υ, 390) denken, obgleich die Zubereitung desselben nicht erwähnt wird.

429. ἐν φάει, noch am Tage, recht zeitig. — ἐψιάασθαι κτέ. scheint eine Andeutung des Saitenspieles und Tanzes, welche nach vollendetem Freiermord Odysseus anordnete, um Vorübergehende und Nachbarn zu täuschen, vgl. ψ, 133—136. 143—147.

430. μολπῇ — δαιτός, vgl. α, 152.

431. ἀμφέθετο. Er hatte es 119 abgelegt, um sich im Spannen des Bogens zu versuchen.

433fg. αὐτοῦ, d. i. Odysseus selbst. — πὰρ θρόνον, neben dem Lehnstuhl, auf dem er früher gesessen (139) und auf welchem er wohl auch Oberkleid und Schwert abgelegt hatte (118f.). — Wahrscheinlich stand dieser Lehnstuhl nahe am δίφρος des Odysseus (420).

XXII. Unmittelbare Fortsetzung des vorigen Buches; aber die Erzählung nimmt auch hier wieder einen neuen Aufschwung.

1. γυμνώθη ῥακέων, so weit sie ihm in der Handhabung des Bogens und im Kampfe hinderlich sein konnten. Dennoch bezeichnet ihn Eurykleia unmittelbar nach dem Kampf 488 ῥάκεσιν πεπυκασμένος.

2. ἐπὶ μ. οὐδόν, vgl. φ, 124. 149 und υ, 257.

22 „οὗτος μὲν δὴ ἄεθλος ἀάατος ἐκτετέλεσται·
6 νῦν αὖτε σκοπὸν ἄλλον, ὃν οὔ πώ τις βάλεν ἀνήρ,
εἴσομαι αἴ κε τύχωμι, πόρῃ δέ μοι εὖχος Ἀπόλλων.“
ἦ, καὶ ἐπ᾽ Ἀντινόῳ ἰθύνετο πικρὸν ὀιστόν.
ἤτοι ὁ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλεν,
10 χρύσεον ἄμφωτον, καὶ δὴ μετὰ χερσὶν ἐνώμα,
ὄφρα πίοι οἴνοιο· φόνος δέ οἱ οὐκ ἐνὶ θυμῷ
μέμβλετο· τίς κ᾽ οἴοιτο μετ᾽ ἀνδράσι δαιτυμόνεσσιν
μοῦνον ἐνὶ πλεόνεσσι, καὶ εἰ μάλα καρτερὸς εἴη,
οἷ τεύξειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν;
15 τὸν δ᾽ Ὀδυσεὺς κατὰ λαιμὸν ἐπισχόμενος βάλεν ἰῷ,
ἀντικρὺ δ᾽ ἁπαλοῖο δι᾽ αὐχένος ἤλυθ᾽ ἀκωκή.
ἐκλίνθη δ᾽ ἑτέρωσε, δέπας δέ οἱ ἔκπεσε χειρός
βλημένου, αὐτίκα δ᾽ αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν
αἵματος ἀνδρομέοιο. θοῶς δ᾽ ἀπὸ εἷο τράπεζαν
20 ὦσε ποδὶ πλήξας, ἀπὸ δ᾽ εἴδατα χεῦεν ἔραζε·
σῖτός τε κρέα τ᾽ ὀπτὰ φορύνετο. τοὶ δ᾽ ὁμάδησαν
μνηστῆρες κατὰ δώμαθ᾽, ὅπως ἴδον ἄνδρα πεσόντα.
ἐκ δὲ θρόνων ἀνόρουσαν ὀρινθέντες κατὰ δῶμα,
πάντοσε παπταίνοντες ἐυδμήτους ποτὶ τοίχους·
25 οὐδέ πῃ ἀσπὶς ἔην, οὐδ᾽ ἄλκιμον ἔγχος ἑλέσθαι.
νείκειον δ᾽ Ὀδυσῆα χολωτοῖσιν ἐπέεσσιν·
„ξεῖνε, κακῶς ἀνδρῶν τοξάζεαι. οὐκέτ᾽ ἀέθλων

5 f. ἄεθλος ἀάατος, im Munde des Odysseus ironisch, vgl. zu φ, 91; jetzt, meint er, soll noch ein ganz anderer Kampf folgen. — σκοπὸν ἄ. ist durch Attraction (Anticipation) von εἴσομαι (οἶδα), statt von τύχωμι abhängig gemacht.

7. Ἀπόλλων, vgl. zu φ, 258.

9. ἔμελλέν, hier mit deutlichem Zeitbegriff: er war im Begriff, wie Iliad. ζ, 52. κ, 365. λ, 22 u. a. Dass nach dem zu φ, 428 Bemerkten hier noch ein δόρπον statt fand, wird ausser 20—23 auch durch 84—86 bestätigt.

11. οὐκ — μέμβλετο, Mord ahnete er nicht, es kam ihm kein Sinn daran.

13 fg. μοῦνον ist Subject zu τεύξειν, und wird durch καὶ εἰ — εἴη näher bestimmt; οἷ weist auf τίς zurück.

15. κατὰ λαιμὸν gehört auch zu ἐπισχόμενος, ihm auf die Kehle zielend.

17 fg. ἑτέρωσε, seitwärts, dann aber fiel er nach 19 fg. rücklings vom Lehnstuhl, vgl. 22. — οἱ — βλημένου, vgl. zu δ, 646 σε — ἀέκοντος.

21. ὁμάδησαν, sie lärmten mit Worten, schmähten und schalten (fluchten, vgl. 30 τῷ — ἔδονται).

27. κακῶς — τοξάζεαι, unge-

ἀλλων ἀντιάσεις· νῦν τοι σῶς αἰπὺς ὄλεθρος. 22
καὶ γὰρ δὴ νῦν φῶτα κατέκτανες ὃς μέγ' ἄριστος
κούρων εἰν Ἰθάκῃ· τῷ σ' ἐνθάδε γῦπες ἔδονται." 30
ἴσκεν ἕκαστος ἀνήρ, ἐπεὶ ἦ φάσαν οὐκ ἐθέλοντα
ἄνδρα κατακτεῖναι· τὸ δὲ νήπιοι οὐκ ἐνόησαν,
ὡς δή σφιν καὶ πᾶσιν ὀλέθρου πείρατ' ἐφῆπτο.
τοὺς δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς
„ὦ κύνες, οὔ μ' ἔτ' ἐφάσκεθ' ὑπότροπον οἴκαδ' ἱκέσθαι 35
δήμου ἄπο Τρώων, ὅτι μοι κατεκείρετε οἶκον,
δμωῇσιν δὲ γυναιξὶ παρευνάζεσθε βιαίως,
αὐτοῦ τε ζώοντος ὑπεμνάασθε γυναῖκα,
οὔτε θεοὺς δείσαντες, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν,
οὔτε τιν' ἀνθρώπων νέμεσιν κατόπισθεν ἔσεσθαι. 40
νῦν ὔμιν καὶ πᾶσιν ὀλέθρου πείρατ' ἐφῆπται."
ὣς φάτο, τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δέος εἷλεν.
[πάπτηνεν δὲ ἕκαστος ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.]
Εὐρύμαχος δέ μιν οἶος ἀμειβόμενος προσέειπεν
„εἰ μὲν δὴ Ὀδυσεὺς Ἰθακήσιος εἰλήλουθας, 45
ταῦτα μὲν αἴσιμα εἶπας, ὅσα ῥέζεσκον Ἀχαιοί,
πολλὰ μὲν ἐν μεγάροισιν ἀτάσθαλα, πολλὰ δ' ἐπ' ἀγροῦ.
ἀλλ' ὁ μὲν ἤδη κεῖται ὃς αἴτιος ἔπλετο πάντων,
Ἀντίνοος· οὗτος γὰρ ἐπίηλεν τάδε ἔργα,
οὔ τι γάμου τόσσον κεχρημένος οὐδὲ χατίζων, 50

schickt schiessest du auf Männer, triffst du Männer, vgl. 31 οὐκ ἐθέλοντα — κατακτεῖναι.

28. νῦν τοι κτέ. = ε, 305 νῦν μοι — ὄλεθρος.

31. ἴσκεν ἕκαστος ἀνήρ, ungefähr was Iliad. β, 278 ὡς φάσαν ἡ πληθύς. ἴσκεν (vgl. Einl. S. 44) bedeutet in dieser einzigen homerischen Stelle: er sagte; häufig bei Apollonius Rhod. u. A. Es ist eine Nebenform zu εἶπεν (ἴσπεν, vgl. ἐνισπεῖν). Verschieden war ἴσκε τ, 203.

33. καὶ πᾶσιν, vgl. zu υ, 156. — ὀλέθρου πείρατα wie sonst τέλος θανάτοιο.

36. ὅτι μοι κτέ., vgl. zu ε, 340.

40. οὔτε — ἔσεσθαι, durch Zeugma von δείσαντες abhängig, das sich bei diesem Gliede zum Begriff von οἰόμενοι verallgemeinert.

43. πάπτηνεν — ὄλεθρον, aus Iliad. ξ, 507 = π, 283, hier dem ähnlichen 24 zu nahe; die besten Zeugen lassen den Vers weg.

46. αἴσιμα εἶπας, d. i. κατ' αἶσαν, du hast nach Gebühr, ganz nach Verdienen (angemessen) bezeichnet. ταῦτα geht auf 36—40 und wird durch ὅσα ῥέζεσκον κτέ. erklärt.

49—53. Ἀντίνοος κτέ., vgl. die Anspielung des Telemachos hierauf

22 ἀλλ᾽ ἄλλα φρονέων, τά οἱ οὐκ ἐτέλεσσε Κρονίων,
ὄφρ᾽ Ἰθάκης κατὰ δῆμον ἐυκτιμένης βασιλεύοι
αὐτός, ἀτὰρ σὸν παῖδα κατακτείνειε λοχήσας.
νῦν δ᾽ ὁ μὲν ἐν μοίρῃ πέφαται, σὺ δὲ φείδεο λαῶν
55 σῶν. ἀτὰρ ἄμμες ὄπισθεν ἀρεσσάμενοι κατὰ δῆμον,
ὅσσα τοι ἐκπέποται καὶ ἐδήδοται ἐν μεγάροισιν,
τιμὴν ἀμφὶς ἄγοντες ἑεικοσάβοιον ἕκαστος,
χαλκόν τε χρυσόν τ᾽ ἀποδώσομεν, εἰς ὅ κε σὸν κῆρ
ἰανθῇ. πρὶν δ᾽ οὔ τι νεμεσσητὸν κεχολῶσθαι."
60 τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς
„Εὐρύμαχ᾽, οὐδ᾽ εἴ μοι πατρώια πάντ᾽ ἀποδοῖτε,
ὅσσα τε νῦν ὔμμ᾽ ἔστι, καὶ εἴ ποθεν ἄλλ᾽ ἐπιθεῖτε,
οὐδέ κεν ὣς ἔτι χεῖρας ἐμὰς λήξαιμι φόνοιο
πρὶν πᾶσαν μνηστῆρας ὑπερβασίην ἀποτῖσαι.
65 νῦν ὑμῖν παράκειται ἐναντίον ἠὲ μάχεσθαι
ἢ φεύγειν, ὅς κεν θάνατον καὶ κῆρας ἀλύξῃ.
ἀλλά τιν᾽ οὐ φεύξεσθαι ὀίομαι αἰπὺν ὄλεθρον."
ὣς φάτο, τῶν δ᾽ αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
τοῖσιν δ᾽ Εὐρύμαχος προσεφώνεε δεύτερον αὖτις
70 „ὦ φίλοι, οὐ γὰρ σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους,
ἀλλ᾽ ἐπεὶ ἔλλαβε τόξον ἐύξοον ἠδὲ φαρέτρην,
οὐδοῦ ἄπο ξεστοῦ τοξάσσεται, εἰς ὅ κε πάντας

α, 391. — ἐπίηλεν, er hat über uns gebracht.

52. ὄφρα — βασιλεύοι, Erklärung zu ἄλλα. Ἰθάκης hängt von κατὰ δῆμον ab.

55. ἀρεσσάμενοι hat zum Object den Relativsatz ὅσσα τοι ἐκπέποται κτέ: ersetzend, vergütend. Zu κατὰ δῆμον vgl. β, 77fg. κατὰ ἄστυ — ἀπαιτίζοντες.

56. ἐκπέποται. Das ἐκ ist auch zum folgenden ἐδήδοται zu ziehen = ἐξεδήδοται.

57. τιμὴν ἄγειν, Ersatz zuführen. Mit ἀμφὶς — ἕκαστος vgl. τ, 46 εἰρήσεται ἀμφὶς ἕκαστα.

59. ἰανθῇ. Die an sich kurze erste Sylbe ist im Anfang des Verses lang gebraucht wie in ἀείδῃ ρ, 519. Zu κεχολῶσθαι erg. σέ, vgl. σ, 227 οὔ σε νεμεσσῶμαι κεχολῶσθαι.

62. ὅσσα τε νῦν — ἔστι. τέ entspricht dem folgenden καὶ und sollte also eigentlich schon nach πατρώια stehen.

65. ὑμῖν παράκειται, vgl. Herod. 7, 11 ἀλλὰ ποιέειν ἢ παθέειν προκέεται ἀγών. — ἐναντίον gehört zu μάχεσθαι.

67. τινά, erg. ὑμῶν, mancher aus euch.

69. τοῖσιν προσεφώνεε ungewöhnliche Construction für τοὺς προσεφ. oder τοῖσιν μετεφώνεε, vgl. Einleit. S. 44.

70. ὦ φίλοι, οὐ γάρ. Der Hauptsatz, wozu οὐ γὰρ σχήσει — κα-

ἄμμε κατακτείνῃ· ἀλλὰ μνησώμεθα χάρμης. 22
φάσγανά τε σπάσσασθε, καὶ ἀντίσχεσθε τραπέζας
ἰῶν ὠκυμόρων· ἐπὶ δ' αὐτῷ πάντες ἔχωμεν 75
ἁθρόοι, εἴ κέ μιν οὐδοῦ ἀπώσομεν ἠδὲ θυράων,
ἔλθωμεν δ' ἀνὰ ἄστυ, βοὴ δ' ὤκιστα γένοιτο.
τῷ κε τάχ' οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσσαιτο."
ὣς ἄρα φωνήσας εἰρύσσατο φάσγανον ὀξύ
χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον, ἆλτο δ' ἐπ' αὐτῷ 80
σπερδαλέα ἰάχων. ὁ δ' ἁμαρτῇ δῖος Ὀδυσσεύς
ἰὸν ἀποπροϊεὶς βάλλε στῆθος παρὰ μαζόν,
ἐν δέ οἱ ἥπατι πῆξε θοὸν βέλος. ἐκ δ' ἄρα χειρὸς
φάσγανον ἧκε χαμᾶζε, περιρρηδὴς δὲ τραπέζῃ
κάππεσε δινηθείς, ἀπὸ δ' εἴδατα χεῦεν ἔραζε 85
καὶ δέπας ἀμφικύπελλον. ὁ δὲ χθόνα τύπτε μετώπῳ
θυμῷ ἀνιάζων, ποσὶ δὲ θρόνον ἀμφοτέροισιν
λακτίζων ἐτίνασσε· κατ' ὀφθαλμῶν δ' ἔχυτ' ἀχλύς.
Ἀμφίνομος δ' Ὀδυσῆος ἐείσατο κυδαλίμοιο
ἀντίος ἀίξας, εἵρυτο δὲ φάσγανον ὀξύ, 90
εἴ πώς οἱ εἴξειε θυράων. ἀλλ' ἄρα μιν φθῆ
Τηλέμαχος κατόπισθε βαλὼν χαλκήρεϊ δουρί
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσεν·

τακτείνῃ den Grund angiebt, liegt in ἀλλὰ μνησώμεθα χάρμης.

77. βοὴ δ' ὤκ. γένοιτο. Der Optativ nach εἴ κε zur Bezeichnung der durch das Vorige bedingten Folge. Vgl. 133 und 444.

81. ἁμαρτῇ, vgl. φ, 188 ὁμαρτήσαντες.

84. περιρρηδὴς τραπέζῃ, über den Tisch hinsinkend, eigentlich hingegossen, so dass er sich gleichsam um denselben herumbog. περιρρηδής von ῥέω, wie ἀμφιρρηδής und das Adverb. περιρρήδην bei Apoll. Rhod. Argon. 4, 1581.

85. δινηθείς, umtaumelnd, sich drehend, so dass er dann (86) mit der Stirne die Erde schlagen konnte. —Bekker u. A. ἰδνωθείς, gekrümmt, was nach dem stärkern περιρρηδὴς matt erscheint.

87. θυμῷ ἀνιάζων, voller Angst im Gemüthe, in der Todesangst, wie Iliad. φ, 270.

89. Ὀδυσῆος ἐείσατο (von εἶμι wie εἵσατο ω, 524, vgl. zu Iliad. ο, 415 ἄντ' Αἴαντος ἐείσατο) scheint verbunden nach Analogie von Iliad. ξ, 488 ὡρμήθη Ἀκάμαντος, wiewohl bei der Setzung des Genitivs auch schon das folg. ἀντίος ἀίξας dem Dichter vorgeschwebt haben mag.

90. εἵρυτο, er hatte gezogen.

92. κατόπισθε βαλών, indem er wahrscheinlich an Odysseus (vgl. zu φ, 433f.) vorbeigeschlüpft war.

22 δούπησεν δὲ πεσών, χθόνα δ' ἤλασε παντὶ μετώπῳ.
95 Τηλέμαχος δ' ἀπόρουσε, λιπὼν δολιχόσκιον ἔγχος
αὐτοῦ ἐν Ἀμφινόμῳ· περὶ γὰρ δίε μή τις Ἀχαιῶν
ἔγχος ἀνελκόμενον δολιχόσκιον ἢ ἐλάσειεν
φασγάνῳ ἀΐξας ἠὲ προπρηνέι τύψας.
βῆ δὲ θέειν, μάλα δ' ὦκα φίλον πατέρ' εἰσαφίκανεν,
100 ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα.
„ὦ πάτερ, ἤδη τοι σάκος οἴσω καὶ δύο δοῦρε
καὶ κυνέην πάγχαλκον, ἐπὶ κροτάφοις ἀραρυῖαν,
αὐτός τ' ἀμφιβαλεῦμαι ἰών, δώσω δὲ συβώτῃ
καὶ τῷ βουκόλῳ ἄλλα· τετευχῆσθαι γὰρ ἄμεινον."
105 τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς
„οἶσε θέων, εἴως μοι ἀμύνεσθαι πάρ' ὀιστοί,
μή μ' ἀποκινήσωσι θυράων μοῦνον ἐόντα."
ὣς φάτο, Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί,
βῆ δ' ἴμεναι θαλαμόνδ', ὅθι οἱ κλυτὰ τεύχεα κεῖτο.
110 ἔνθεν τέσσαρα μὲν σάκε' ἔξελε, δούρατα δ' ὀκτώ
καὶ πίσυρας κυνέας χαλκήρεας ἱπποδασείας·
βῆ δὲ φέρων, μάλα δ' ὦκα φίλον πατέρ' εἰσαφίκανεν,
αὐτὸς δὲ πρώτιστα περὶ χροῖ δύσετο χαλκόν.
ὣς δ' αὔτως τὼ δμῶε δυέσθην τεύχεα καλά,
115 ἔσταν δ' ἀμφ' Ὀδυσῆα δαΐφρονα ποικιλομήτην.
αὐτὰρ ὅ γ', ὄφρα μὲν αὐτῷ ἀμύνεσθαι ἔσαν ἱοί,
τόφρα μνηστήρων ἕνα γ' αἰεὶ ᾧ ἐνὶ οἴκῳ

95. ἀπόρουσε, er eilte schnell hinweg, vgl. 99.

97. ἀνελκόμενον ist Masculinum, als Bestimmung zu dem bei ἐλάσειεν zu ergänzenden μίν (ἑαυτόν); ἔγχος δολ. Object dazu, vgl. 271.

98. προπρηνέι (φασγάνῳ) τύψας, veränderte Construction für τύψειεν (τύψαι): er fürchtete, es möchte ihn einer mit dem Schwert entweder durch einen Stoss oder durch einen Hieb (mit dem vorübergeneigten, geschwungenen) tödten. Bekker u. A. προπρηνέα, parallel mit ἀνελκόμενον, ihn wenn er sich vorwärts neigte, bückte (zum Herausziehen der Lanze).

103 fg. ἀμφιβαλεῦμαι, erg. σάκος καὶ κυνέην. — συβώτῃ καὶ τῷ βουκόλῳ, dem Sauhirt und dem andern, dem Rinderhirt.

109. θαλαμόνδε, vgl. zu τ, 4.

112. πατέρ' εἰσαφίκανεν, er kam wieder in den Saal zum Vater.

113 fg. δύσετο und δυέσθην stehen ohne Unterschied des Zeitbegriffes beide aoristisch.

115. ποικιλομήτην giebt einen vollern Versausgang als die andere Form ποικιλόμητιν.

βάλλε τιτυσκόμενος· τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον. 22
αὐτὰρ ἐπεὶ λίπον ἰοὶ ὀιστεύοντα ἄνακτα,
τόξον μὲν πρὸς σταθμὸν ἐυσταθέος μεγάροιο 120
ἔκλιν' ἑστάμεναι, πρὸς ἐνώπια παμφανόωντα,
αὐτὸς δ' ἀμφ' ὤμοισι σάκος θέτο τετραθέλυμνον,
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν,
ἵππουριν· δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν·
εἵλετο δ' ἄλκιμα δοῦρε δύω κεκορυθμένα χαλκῷ. 125
ὀρσοθύρη δέ τις ἔσκεν ἐυδμήτῳ ἐνὶ τοίχῳ,
ἀκρότατον δὲ παρ' οὐδὸν ἐυσταθέος μεγάροιο
ἦν ὁδὸς ἐς λαύρην, σανίδες δ' ἔχον εὖ ἀραρυῖαι.
τὴν δ' Ὀδυσεὺς φράζεσθαι ἀνώγει δῖον ὑφορβόν
ἑσταότ' ἄγχ' αὐτης· μία δ' οἴη γίγνετ' ἐφορμή. 130
τοῖς δ' Ἀγέλεως μετέειπεν, ἔπος πάντεσσι πιφαύσκων,

119. λίπον = ἐπέλιπον, defecerunt.

120. πρὸς σταθμόν, an den Pfosten, d. h. einen der beiden Thürpfosten der nach innen (mit einwärts zurückgelehnten Flügeln) geöffneten Thüre. So konnte der Bogen zugleich auch πρὸς ἐνώπια π. gegen die Seitenwände des Einganges oder eine derselben (vgl. zu δ, 42) gerichtet sein. Nach Rumpf.

124fg. ἵππουριν — χαλκῷ = Iliad. λ. 42fg., wo hingegen 41 mehrere Verschiedenheiten von unserm 123 hat. Der Wechsel der Endungen in ἄλκιμα δοῦρε scheint einen euphonischen Grund zu haben, vgl. ν, 10 ἐυξέστῃ ἐνὶ χηλῷ.

126. ὀρσοθύρη, gleichsam Steigthüre oder Springthüre, eine in der Höhe, wahrscheinlich dem Haupteingang schräg gegenüber in der Ecke der Seitenwand angebrachte kleine Pforte (ähnlich einem Fenster), um in Nothfällen zum Ausgang zu dienen. Da von einer Treppe oder Leiter dazu sich in der Beschreibung des Dichters keine Spur findet, ist anzunehmen, man habe sich dazu emporschwingen müssen. Durch diese (auch jetzt nicht geschlossene) Oeffnung kam man in die λαύρη, d. h. einen schmalen Seitengang unter freiem Himmel zwischen dem Hause und der dasselbe umschliessenden Mauer; aus der λαύρη aber führte eine Thüre (128) neben der Hauptthüre vorbei in den eigentlichen Hof. Hauptsächlich nach Rumpf.

127. ἀκρότατον παρ' οὐδόν, zu äusserst neben der Schwelle, eig. neben dem äussersten Theile der Schwelle, natürlich ausserhalb des Saales.

128. σανίδες δ' ἔχον, erg. τὴν ὁδόν, eine feste, fest einfugende Thüre verwahrte ihn (gegen den Hof). — ἔχον so v. a. ἐντὸς ἔεργον η, 88.

129. τὴν δέ (ὁδὸν ἐς λαύρην), diesen Weg in den äusseren Gang. — φράζεσθαι ἀνώγει, er befahl in's Auge zu fassen, noch ehe Agelaos den folgenden Vorschlag machte.

130. μία — ἐφορμή, es war ein einziger Zugang (zu dieser Thüre),

22 „ὦ φίλοι, οὐκ ἂν δή τις ἀν' ὀρσοθύρην ἀναβαίη
καὶ εἴποι λαοῖσι, βοὴ δ' ὤκιστα γένοιτο;
τῷ κε τάχ' οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσσαιτο."
135 τὸν δ' αὖτε προσέειπε Μελάνθιος αἰπόλος αἰγῶν
„οὔ πως ἔστ', Ἀγέλαε διοτρεφές· ἄγχι γὰρ αἰνῶς
αὐλῆς καλὰ θύρετρα, καὶ ἀργαλέον στόμα λαύρης·
καί χ' εἷς πάντας ἐρύκοι ἀνήρ, ὅς τ' ἄλκιμος εἴη.
ἀλλ' ἄγεθ', ὑμῖν τεύχε' ἐνείκω θωρηχθῆναι
140 ἐκ θαλάμου· ἔνδον γάρ, ὀίομαι, οὐδέ πη ἄλλῃ
τεύχεα κατθέσθην Ὀδυσεὺς καὶ φαίδιμος υἱός."
ὣς εἰπὼν ἀνέβαινε Μελάνθιος αἰπόλος αἰγῶν
ἐς θαλάμους Ὀδυσῆος, ἀνὰ ῥῶγας μεγάροιο.
ἔνθεν δώδεκα μὲν σάκε' ἔξελε, τόσσα δὲ δοῦρα
145 καὶ τόσσας κυνέας χαλκήρεας ἱπποδασείας·
βῆ δ' ἴμεναι, μάλα δ' ὦκα φέρων μνηστῆρσιν ἔδωκεν.
καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
ὡς περιβαλλομένους ἴδε τεύχεα χερσί τε δοῦρα

und überdies war das Pförtchen natürlich sehr schmal.

133. καὶ εἴποι λαοῖσι. Die Freier wissen eben nicht, dass auch die Hofthüre fest verschlossen ist (φ, 389—391).

136 fg. ἄγχι — θύρετρα, denn furchtbar nahe, zum Fürchten nahe ist die schöne Pforte (die Hauptthüre) zum Hofe, auf deren Schwelle (vgl. 2 und 120 fg.) sich noch immer Odysseus befindet. Zu θύρετρα vgl. 6, 385 τὰ θύρετρα, καὶ εὖρ ἐα περ μάλ' ἐόντα. — ἀργαλέον στόμα λαύρης, gefährlich, eng ist die Mündung des Ganges (wo er in den Hof hinausführt).

140. ἔνδον, d. i. ἐν τῷ θαλάμῳ.

142. ἀνέβαινε, wahrsch. durch die ὀρσοθύρη (vgl. 132), um in die an die λαύρη anstossenden θάλαμοι, d. h. die Abtheilung der Kammern (= ψ, 41), unter denen auch die Waffenkammer (109. 140. 161. 174) war, zu gelangen, und daraus (ἔνθεν) Waffen zu holen.

143. ἀνὰ ῥῶγας μεγάροιο, eig. durch die Ritzen (ῥῶξ von ῥήγνυμι) des Saales, welche vermuthlich Odysseus und Telemach von ihren Standorten aus nicht beobachten noch überwachen konnten (vgl. 151 f. 158 f.). Durch dieselben Oeffnungen scheint Melanthios die Waffen den Freiern auch unbemerkt hereingereicht zu haben (146). Aus ἀνέβαινε — ἀνὰ ῥ. ergiebt sich, dass sich dieselben in der Höhe befanden, und daher versteht Rumpf mit einigen Alten τὰς τῆς οἰκίας ὑπερῴας διόδους, d. h. einen engen Durchgang hinter den μεσόδμαι oder durch dieselben (vgl. zu τ, 37).

144. ἔνθεν δώδεκα κτέ., natürlich nicht auf ein Mal, sondern in mehreren Gängen, vgl. 161 αὖτις (180—185). Odysseus aber bemerkte es erst, als sie die Waffen einer nach dem andern anzuziehen und zu gebrauchen anfingen (148).

148. περιβαλλομένους, vgl. 103 ἀμφιβαλεῦμαι.

μακρὰ τινάσσοντας· μέγα δ' αὐτῷ φαίνετο ἔργον. 22
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα· 150
„Τηλέμαχ', ἦ μάλα δή τις ἐνὶ μεγάροισι γυναικῶν
νῶιν ἐποτρύνει πόλεμον κακόν, ἠὲ Μελανθεύς."
τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα
„ὦ πάτερ, αὐτὸς ἐγὼ τόδε γ' ἤμβροτον — οὐδέ τις ἄλλος
αἴτιος — ὃς θαλάμοιο θύρην πυκινῶς ἀραρυῖαν 155
κάλλιπον ἀγκλίνας· τῶν δὲ σκοπὸς ἦεν ἀμείνων.
ἀλλ' ἴθι, δῖ' Εὔμαιε, θύρην ἐπίθες θαλάμοιο,
καὶ φράσαι ἤ τις ἄρ' ἐστὶ γυναικῶν ἢ τάδε ῥέζει,
ἢ υἱὸς Δολίοιο Μελανθεύς, τόν περ ὀίω."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον, 160
βῆ δ' αὖτις θαλαμόνδε Μελάνθιος αἰπόλος αἰγῶν,
οἴσων τεύχεα καλά. νόησε δὲ δῖος ὑφορβός,
αἶψα δ' Ὀδυσσῆα προσεφώνεεν ἐγγὺς ἐόντα
„διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
κεῖνος δ' αὖτ' αἰδηλος ἀνήρ, ὃν ὀιόμεθ' αὐτοί, 165
ἔρχεται ἐς θάλαμον. σὺ δέ μοι νημερτὲς ἐνίσπες
ἤ μιν ἀποκτείνω, αἴ κε κρείσσων γε γένωμαι,
ἤε σοὶ ἐνθάδ' ἄγω, ἵν' ὑπερβασίας ἀποτίσῃ
πολλάς, ὅσσας οὗτος ἐμήσατο σῷ ἐνὶ οἴκῳ."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς 170
„ἤτοι ἐγὼ καὶ Τηλέμαχος μνηστῆρας ἀγαυούς
σχήσομεν ἔντοσθεν μεγάρων, μάλα περ μεμαῶτας·
σφῶι δ' ἀποστρέψαντε πόδας καὶ χεῖρας ὕπερθεν
ἐς θάλαμον βαλέειν, σανίδας δ' ἐκδῆσαι ὄπισθεν,

149. *μέγα — ἔργον*, es schien ihm ein Grosses (ein schlimmer Streich), vgl. Iliad. *ν*, 366 *ὑπέσχετο δὲ μέγα ἔργον*.

156. *ἀγκλίνας*, aufgelehnt, also geöffnet, vgl. 157 den Gegensatz *ἐπίθες*. — *τῶν δὲ — ἀμείνων*, ein Anderer bemerkte das besser, war achtsamer als ich. *τῶν* ist Neutrum.

165. *δ' αὖτε*, d. h. *δὴ αὖτε*, nun wieder, wirklich wieder, vgl. zu *ι*, 311. *δὴ* weist auf das schon Geäusserte (152. 159) zurück.

169. *ὅσσας οὗτος ἐμήσατο*. *οὗτος* mit Geringschätzung „er", „der", mit nachdrücklicher Betonung, zur Bezeichnung derselben Person, die vorher schon Subject war, wie *φ*, 403 *ὡς οὗτός ποτε*, vgl. *χ*, 78. 134 *οὗτος ἀνήρ*. 248 *ἀνὴρ ὅδε*.

173. *ὕπερθεν* gehört nur zu *χεῖρας* im Gegensatz von *πόδας*.

174. *σανίδας δ' ἐκδῆσαι ὄπ.* (brachylogisch für *σανίδων δ' ἐκδ. ἱμάντα ὄπ.*), und hinter euch

22 σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντε
176 κίον' ἀν' ὑψηλὴν ἐρύσαι πελάσαι τε δοκοῖσιν,
ὥς κεν δηθὰ ζωὸς ἐὼν χαλέπ' ἄλγεα πάσχῃ."
ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο,
βὰν δ' ἴμεν ἐς θάλαμον, λαθέτην δέ μιν ἔνδον ἐόντα.
180 ἤτοι ὁ μὲν θαλάμοιο μυχὸν κάτα τεύχε' ἐρεύνα,
τὼ δ' ἔσταν ἑκάτερθε παρὰ σταθμοῖσι μένοντε.
εὖθ' ὑπὲρ οὐδὸν ἔβαινε Μελάνθιος αἰπόλος αἰγῶν,
τῇ ἑτέρῃ μὲν χειρὶ φέρων καλὴν τρυφάλειαν,
τῇ δ' ἑτέρῃ σάκος εὐρὺ γέρον, πεπαλαγμένον ἄζῃ,
185 Λαέρτεω ἥρωος, ὃ κουρίζων φορέεσκεν·
δὴ τότε γ' ἤδη κεῖτο, ῥαφαὶ δὲ λέλυντο ἱμάντων·
τὼ δ' ἄρ' ἐπαΐξανθ' ἑλέτην, ἔρυσάν τέ μιν εἴσω
κουρίξ, ἐν δαπέδῳ δὲ χαμαὶ βάλον ἀχνύμενον κῆρ,
σὺν δὲ πόδας χεῖράς τε δέον θυμαλγέι δεσμῷ
190 εὖ μάλ' ἀποστρέψαντε διαμπερές, ὡς ἐκέλευσεν
υἱὸς Λαέρταο πολύτλας δῖος Ὀδυσσεύς·
σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντε
κίον' ἀν' ὑψηλὴν ἔρυσαν πέλασάν τε δοκοῖσιν.
τὸν δ' ἐπικερτομέων προσέφης, Εὔμαιε συβῶτα·
195 „νῦν μὲν δὴ μάλα πάγχυ, Μελάνθιε, νύκτα φυλάξεις,

bindet die Pforte zu, nämlich wann ihr ihn gebunden in der Kammer zurücklasset. Der Zeitfolge nach gehören also die nachher bezeichneten Handlungen πειρήναντε — ἐρύσαι πελάσαι τε vor dieses ἐκδῆσαι und enthalten nachträgliche Bestimmungen zu ἐς θάλαμον βαλέειν. Vgl. 201 θύρην ἐπιθέντε φαεινήν im Verhältniss zu der Schilderung 187—193.

175. ἐξ αὐτοῦ, an ihm selbst. — πειραίνειν, schlingen, die Enden (πείρατα, πέρατα) durch einander ziehen. Ueber den Bau dieses Verses vgl. φ, 15.

179. ἐς θάλαμον, zunächst nur an den Eingang, wie sich aus 181—187 ergiebt.

181. ἑκάτερθε π. στ., vgl. ζ, 19. σταθμοῖιν ἑκάτερθε.

182. εὖθ' ὑπ. οὐδ. ἔβαινε. Das gewöhnliche Asyndeton bei εὖτε, wobei diese Partikel nachdrücklich zu betonen ist.

185. κουρίζων = κοῦρος ἐών, ungefähr was ἡβῶν.

186. δὴ τότε — ἱμάντων, parenthetische Ausmalung. Mit dem folgenden Vers beginnt der Nachsatz.

188. κουρίξ (κουρά, Schur) = beim Schopf.

190. ἀποστρέψαντε, nämlich πόδας καὶ χεῖρας. διαμπερὲς ist noch Bekräftigung zu εὖ μάλα.

194. προσέφης, Εὔμαιε. Die gemüthliche Anrede des treueifrigen Eumäos ist hier wieder ganz an ihrem Platze, vgl. zu ξ, 55.

εὐνῇ ἔνι μαλακῇ καταλέγμενος, ὥς σε ἔοικεν· 22
οὐδὲ σέ γ' ἠριγένεια παρ' Ὠκεανοῖο ῥοάων
λήσει ἐπερχομένη χρυσόθρονος, ἠνίκ' ἀγινεῖς
αἶγας μνηστήρεσσι, δόμον κάτα δαῖτα πένεσθαι."
ὣς ὁ μὲν αὖθι λέλειπτο ταθεὶς ὀλοῷ ἐνὶ δεσμῷ· 200
τὼ δ' ἐς τεύχεα δύντε, θύρην ἐπιθέντε φαεινήν,
βήτην εἰς Ὀδυσῆα δαΐφρονα ποικιλομήτην.
ἔνθα μένος πνείοντες ἐφέστασαν, οἱ μὲν ἐπ' οὐδοῦ
τέσσαρες, οἱ δ' ἔντοσθε δόμων πολέες τε καὶ ἐσθλοί.
τοῖσι δ' ἐπ' ἀγχίμολον θυγάτηρ Διὸς ἦλθεν Ἀθήνη, 205
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν.
τὴν δ' Ὀδυσεὺς γήθησεν ἰδών, καὶ μῦθον ἔειπεν·
„Μέντορ, ἄμυνον ἀρήν, μνῆσαι δ' ἑτάροιο φίλοιο,
ὅς σ' ἀγαθὰ ῥέζεσκον· ὁμηλικίη δέ μοί ἐσσι."
ὣς φάτ' ὀιόμενος λαοσσόον ἔμμεν Ἀθήνην. 210
μνηστῆρες δ' ἑτέρωθεν ὁμόκλεον ἐν μεγάροισιν.
πρῶτος τήν γ' ἐνέπε Δαμαστορίδης Ἀγέλαος·
„Μέντορ, μή σ' ἐπέεσσι παραιπεπίθῃσιν Ὀδυσσεύς
μνηστήρεσσι μάχεσθαι, ἀμυνέμεναι δὲ οἱ αὐτῷ.
ὧδε γὰρ ἡμέτερόν γε νόον τελέεσθαι ὀίω· 215
ὁππότε κεν τούτους κτέωμεν, πατέρ' ἠδὲ καὶ υἱόν,
ἐν δὲ σὺ τοῖσιν ἔπειτα πεφήσεαι, οἷα μενοινᾷς
ἔρδειν ἐν μεγάροις· σῷ δ' αὐτοῦ κράατι τίσεις.
αὐτὰρ ἐπὴν ὑμέων γε βίας ἀφελώμεθα χαλκῷ,

197. οὐδὲ σέ γε — λήσει, d. h. du bist gewiss allemal bei ihrem Erscheinen schon wach, vgl. Iliad. ω, 12 οὐδέ μιν ἠὼς φαινομένη λήθεσκεν κτέ.

198. ἠνίκ' ἀγινεῖς, aoristisches Präsens = zu der Tageszeit, in welcher du sonst gewöhnlich — herbeiführst. — ἠνίκα kommt in beiden Gedichten sonst nicht vor.

201. ἐς τεύχεα δ., vgl. 114. Sie hatten die Waffen beim Binden des Melanthios abgelegt.

202. εἰς Ὀδυσῆα, vgl. zu 112 mit 99.

203. ἔνθα — ἐφέστασαν geht auf die beiden kämpfenden Parteien, deren erste (die des Odysseus) jetzt wieder vollzählig ist.

206. Μέντορι — αὐδήν = β, 268.

208. ἄμυνον ἀρήν = β, 59 ἀρὴν ἀπὸ οἴκου ἀμῦναι.

209. ὁμηλικίη, vgl. zu β, 158.

211. ὁμόκλεον, erg. αὐτήν, vgl. φ, 367.

217. δὲ ἔπειτα, Hervorhebung des Nachsatzes: „dann gewiss", wie sonst auch δὴ τότε. — Zu ἐν — πεφήσεαι vgl. Iliad. ν, 829.

219. βίας ἀφελώμεθα. Die Phrase βίας ἀφαιρεῖσθαί τινος hat et-

22 κτήμαθ' ὁπόσσα τοι ἔστι, τά τ' ἔνδοθι καὶ τὰ θύρηφιν,
221 τοῖσιν Ὀδυσσῆος μεταμίξομεν· οὐδέ τοι υἷας
ζώειν ἐν μεγάροισιν ἐάσομεν, οὐδὲ θύγατρας,
οὐδ' ἄλοχον κεδνὴν Ἰθάκης κατὰ ἄστυ πολεύειν."
ὣς φάτ', Ἀθηναίη δὲ χολώσατο κηρόθι μᾶλλον,
225 νείκεσσεν δ' Ὀδυσῆα χολωτοῖσιν ἐπέεσσιν·
„οὐκέτι σοί γ', Ὀδυσεῦ, μένος ἔμπεδον, οὐδέ τις ἀλκή,
οἵη ὅτ' ἀμφ' Ἑλένῃ λευκωλένῳ εὐπατερείῃ
εἰνάετες Τρώεσσιν ἐμάρναο νωλεμὲς αἰεί,
πολλοὺς δ' ἄνδρας ἔπεφνες ἐν αἰνῇ δηιοτῆτι,
230 σῇ δ' ἥλω βουλῇ Πριάμου πόλις εὐρυάγυια.
πῶς δὴ νῦν, ὅτε σόν γε δόμον καὶ κτήμαθ' ἱκάνεις,
αντα μνηστήρων ὀλοφύρεαι ἄλκιμος εἶναι;
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵστασο καὶ ἴδε ἔργον,
ὄφρ' εἰδῇς οἷός τοι ἐν ἀνδράσι δυσμενέεσσιν
235 Μέντωρ Ἀλκιμίδης εὐεργεσίας ἀποτίνειν."
ἦ ῥα, καὶ οὔ πω πάγχυ δίδου ἑτεραλκέα νίκην,
ἀλλ' ἔτ' ἄρα σθένεός τε καὶ ἀλκῆς πειρήτιζεν
ἠμὲν Ὀδυσσῆος ἠδ' υἱοῦ κυδαλίμοιο.
αὐτὴ δ' αἰθαλόεντος ἀνὰ μεγάροιο μέλαθρον
240 ἕζετ' ἀναΐξασα, χελιδόνι εἰκέλη ἄντην.

was Ironisches, wie unser „einem etwas vertreiben".

224. χολώσατο, über die Frechheit des Agelaos. Die folgende Bescheltung des Odysseus soll nur diesen aufstacheln und zu energischem Kampfe gegen die Freier entflammen.

228. νωλεμὲς αἰεί, wie auch ἄφθιτον αἰεί verbunden wird, vgl. zu δ, 288.

230. σῇ δ' ἥλω βουλῇ. Daher des Odysseus Beiname πτολίπορθος 283.

232. ὀλοφύρεαι ἄλκιμος εἶναι, du jammerst dich tapfer zu zeigen, beklagst dich, dass du es thun sollst.

233. πέπον hat hier einen tadelnden Nebenbegriff, wie Iliad. β, 235 ὦ πέπονες, κάκ' ἐλέγχεα: „Weichling".

234. οἷος (ἐστί), wie tüchtig und wie eifrig, vgl. zu φ, 195 ποῖοί κ' εἴτ' Ὀδυσῆι ἀμυνέμεν;

236. οὔ πω πάγχυ, noch gar nicht, keineswegs schon, vgl. zu β, 279.

239. αἰθαλόεις, hier dem ganzen μέγαρον beigelegt, wie Iliad. β, 415 dem μέλαθρον; zur Erklärung des letztern dient 298 ἐξ ὀροφῆς. — ἀνά mit dem Accusativ: an — hinauf, vgl. 176 ἀνὰ κίονα, d. h. an den obersten Theil der Säule, bis — hinauf.

240. χελιδόνι — ἄντην. Der ganze Zusammenhang und insbesondere der Ausdruck ἄντην deuten auf eine wirkliche Verwandlung; denn Athene will dem fernern Gange

μνηστῆρας δ' ὤτρυνε Δαμαστορίδης Ἀγέλαος 22
Εὐρύνομός τε καὶ Ἀμφιμέδων Δημοπτόλεμός τε
Πείσανδρός τε Πολυκτορίδης Πόλυβός τε δαΐφρων·
οἱ γὰρ μνηστήρων ἀρετῇ ἔσαν ἔξοχ' ἄριστοι,
ὅσσοι ἔτ' ἔζωον περί τε ψυχέων ἐμάχοντο· 245
τοὺς δ' ἤδη ἐδάμασσε βιὸς καὶ ταρφέες ἰοί.
τοῖς δ' Ἀγέλεως μετέειπεν, ἔπος πάντεσσι πιφαύσκων·
„ὦ φίλοι, ἤδη σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους·
καὶ δή οἱ Μέντωρ μὲν ἔβη κενὰ εὔγματα εἰπών,
οἱ δ' οἶοι λείπονται ἐπὶ πρώτῃσι θύρῃσιν. 250
τῷ νῦν μὴ ἅμα πάντες ἀφίετε δούρατα μακρά,
ἀλλ' ἄγεθ' οἱ ἓξ πρῶτον ἀκοντίσατ', αἴ κέ ποθι Ζεύς
δώῃ Ὀδυσσῆα βλῆσθαι καὶ κῦδος ἀρέσθαι.
τῶν δ' ἄλλων οὐ κῆδος, ἐπὴν οὗτός γε πέσῃσιν."
ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκόντισαν ὡς ἐκέλευεν, 255
ἱέμενοι· τὰ δὲ πάντα ἐτώσια θῆκεν Ἀθήνη.
τῶν ἄλλος μὲν σταθμὸν ἐυσταθέος μεγάροιο
βεβλήκειν, ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν·
ἄλλου δ' ἐν τοίχῳ μελίη πέσε χαλκοβάρεια.
αὐτὰρ ἐπεὶ δὴ δούρατ' ἀλεύαντο μνηστήρων, 260
τοῖς δ' ἄρα μύθων ἦρχε πολύτλας δῖος Ὀδυσσεύς·
„ὦ φίλοι, ἤδη μέν κεν ἐγὼν εἴποιμι καὶ ἄμμιν

des Kampfes zusehen und thut es bis 297, wo sie selbst mit Erschütterung der Aegis in denselben eingreift und dadurch die Entscheidung (ἑτεραλκὴς νίκη 236) herbeiführt. Vgl. Iliad. η, 58—60 und dagegen Od. α, 320.

241. Ἀγέλαος, schon nach 131 einer der hervortretenden Charaktere unter den Freiern.

242. Εὐρύνομος war β, 22 als Sohn des greisen Aegyptios genannt.

246. τοὺς δέ, die andern als Gegensatz von ὅσσοι ἔτ' ἔζωον.

247. τοῖς — πιφαύσκων = 131.

248. ὦ φίλοι — ἀάπτους, ähnlich wie 70.

249. Μέντωρ μ. ἔβη. Agelaos ahnt nichts von der fortdauernden Gegenwart der Athene (239 fg.).

250. ἐπὶ πρώτῃσι θύρῃσιν, zuvorderst am Eingang, d. h. auf der mehrmals genannten (innern) Schwelle, vgl. zu ρ, 30.

253. βλῆσθαι, passiv: dass getroffen wird. Bei ἀρέσθαι ist als Subject hinzuzudenken ἡμᾶς.

256. τὰ δὲ πάντα, erg. ἀκοντίσματα aus ἀκόντισαν, oder δοῦρα nach 231 und 265. 272 fg.

257 ff. σταθμὸν — θύρην — τοίχῳ, also immer mehr den Odysseus verfehlend. Zu πυκ. ἀραρυῖαν, vgl. 128 εὖ ἀραρ. mit 155.

262. καὶ ἄμμιν, auch uns, d. h. auch euch und mir selbst dazu.

22 μνηστήρων ἐς ὅμιλον ἀκοντίσαι, οἳ μεμάασιν
ἡμέας ἐξεναρίξαι ἐπὶ προτέροισι κακοῖσιν."
265 ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκόντισαν ὀξέα δοῦρα
αντα τιτυσκόμενοι. Δημοπτόλεμον μὲν Ὀδυσσεύς,
Εὐρυάδην δ' ἄρα Τηλέμαχος, Ἔλατον δὲ συβώτης,
Πείσανδρον δ' ἄρ' ἔπεφνε βοῶν ἐπιβουκόλος ἀνήρ.
οἱ μὲν ἔπειθ' ἅμα πάντες ὀδὰξ ἕλον ἄσπετον οὐδας,
270 μνηστῆρες δ' ἀνεχώρησαν μεγάροιο μυχόνδε.
τοὶ δ' ἄρ' ἐπήιξαν, νεκύων δ' ἐξ ἔγχε' ἕλοντο.
αὖτις δὲ μνηστῆρες ἀκόντισαν ὀξέα δοῦρα
ἱέμενοι· τὰ δὲ πολλὰ ἐτώσια θῆκεν Ἀθήνη.
τῶν ἄλλος μὲν σταθμὸν ἐυσταθέος μεγάροιο
275 βεβλήκειν, ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν·
ἄλλου δ' ἐν τοίχῳ μελίη πέσε χαλκοβάρεια.
Ἀμφιμέδων δ' ἄρα Τηλέμαχον βάλε χεῖρ' ἐπὶ καρπῷ
λίγδην, ἄκρην δὲ ῥινὸν δηλήσατο χαλκός.
Κτήσιππος δ' Εὔμαιον ὑπὲρ σάκος ἔγχεϊ μακρῷ
280 ὦμον ἐπέγραψεν· τὸ δ' ὑπέρπτατο, πῖπτε δ' ἔραζε.
τοὶ δ' αὖτ' ἀμφ' Ὀδυσῆα δαΐφρονα ποικιλομήτην
μνηστήρων ἐς ὅμιλον ἀκόντισαν ὀξέα δοῦρα.
ἐνθ' αὖτ' Εὐρυδάμαντα βάλε πτολίπορθος Ὀδυσσεύς,
Ἀμφιμέδοντα δὲ Τηλέμαχος, Πόλυβον δὲ συβώτης·

Umgekehrt ist 252 οἱ ἐξ πρῶτον ἀκοντίσατε die zweite Person gebraucht, obgleich der Sprechende auch sich selbst (vgl. 241—243) mitzählt.

267. Εὐρυάδης scheint die patronymische Benennung einer Person, deren eigentlicher Name nicht angegeben ist. Ebenso die Sclavin Ἀκτορίς ψ, 288 und Φιλομηλείδης δ, 343.

269. ὀδὰξ — οὐδας, ähnlich unserm freilich im Sprachgebrauch unedlen „in's Gras beissen." — ἄσπετον οὐδας, wie ν, 395.

271. τοὶ δὲ, d. i. τοὶ δ' αὖτ' ἀμφ' Ὀδυσῆα nach 281.

273. τὰ δὲ πολλά (vgl. 256), aber die meisten derselben; denn nach 277—280 trafen doch ihrer zwei.

274—276. τῶν — χαλκοβάρεια = 257—259. Auch hier sind diese Verse als Uebergang zum Folgenden unentbehrlich.

277. χεῖρ' ἐπὶ καρπῷ, wie σ, 258 δεξιτερὴν ἐ. κ. χεῖρα.

278. λίγδην nur hier, wie das Compositum ἐπιλίγδην nur Iliad. ρ, 599.

279. Κτήσιππος. Vgl. über diesen rohesten der Freier υ, 287—300.

281. τοὶ δ' — ἀμφ' Ὀδυσῆα, vgl. zu Iliad. γ, 146 οἱ δ' ἀμφὶ Πρίαμον κτέ.

283. Εὐρυδάμας, vgl. σ, 297.

Κτήσιππον δ' ἄρ' ἔπειτα βοῶν ἐπιβουκόλος ἀνήρ 22
βεβλήκει πρὸς στῆθος, ἐπευχόμενος δὲ προσηύδα 286
„ὦ Πολυθερσείδη φιλοκέρτομε, μή ποτε πάμπαν
εἴκων ἀφραδίῃς μέγα εἰπεῖν, ἀλλὰ θεοῖσιν
μῦθον ἐπιτρέψαι, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσιν.
τοῦτό τοι ἀντὶ ποδὸς ξεινήιον, ὅν ποτ' ἔδωκας 290
ἀντιθέῳ Ὀδυσῆι δόμον κατ' ἀλητεύοντι."
ἦ ῥα βοῶν ἑλίκων ἐπιβουκόλος· αὐτὰρ Ὀδυσσεύς
οὖτα Δαμαστορίδην αὐτοσχεδὸν ἔγχεϊ μακρῷ.
Τηλέμαχος δ' Εὐηνορίδην Λειώκριτον οὖτα
δουρὶ μέσον κενεῶνα, διαπρὸ δὲ χαλκὸν ἔλασσεν· 295
ἤριπε δὲ πρηνής, χθόνα δ' ἤλασε παντὶ μετώπῳ.
δὴ τότ' Ἀθηναίη φθισίμβροτον αἰγίδ' ἀνέσχεν
ὑψόθεν ἐξ ὀροφῆς· τῶν δὲ φρένες ἐπτοίηθεν.
οἱ δ' ἐφέβοντο κατὰ μέγαρον βόες ὡς ἀγελαῖαι,
τὰς μέν τ' αἰόλος οἶστρος ἐφορμηθεὶς ἐδόνησεν 300
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ' ἤματα μακρὰ πέλονται.
οἱ δ' ὥς τ' αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχεῖλαι
ἐξ ὀρέων ἐλθόντες ἐπ' ὀρνίθεσσι θόρωσιν·

286. ἐπευχόμενος, sich freuend des Sieges, ohne den übeln Nebenbegriff, den unten 412 εὐχετάασθαι hat.

290. ἀντὶ ποδός, vgl. υ, 299. Die unbestimmte Zeitbestimmung ὅν ποτ' ἔδωκας lässt nicht errathen, dass dies am δεῖπνον desselben Tages geschehen war.

291. δόμον κατ' ἀλητεύοντι. Auch dies passt nicht buchstäblich auf die Umstände jenes Vorfalles; denn dabei sass Odysseus an einem eigenen Tischchen und hatte seine ἴση μοῖρα vor sich, vgl. υ, 257—261 und 281—283. Das eigentliche ἀλητεύειν κατὰ δόμον fand am Tage vorher statt nach ρ, 350fg. und 365—367.

294. Λειώκριτος hatte in der Volksversammlung β, 242ff. auch das Wort geführt.

297. δὴ τότε. Athene führt nun den Schluss des ganzen Freiermordes herbei.

300. τὰς μέν τε ist Relativum (wie 422 δμωαί, τὰς μέν τ' ἔργα διδάξαμεν); denn nicht überhaupt wie Rinder, sondern wie von der Bremse verfolgte schossen die Freier angstvoll umher. — αἰόλος, „flatternd, immer hin und her fliegend, stets abgewehrt und stets wiederkehrend." Buttmann.

301. ὥρῃ — πέλονται = σ, 367.

302. οἱ δέ (d. i. οἱ ἀμφ' Ὀδυσῆα) wird 307 durch ὡς ἄρα τοί wieder aufgenommen; sie werden mit Geiern verglichen, die gierig auf kleinere Vögel herabstürzen. Zur Satzbildung vgl. Iliad. β, 474—476 τοὺς δ' ὥς τ' αἰπόλια — ὣς τοὺς ἡγεμόνες διεκόσμεον.

303. ἐξ ὀρέων ἐλθ., wie τ, 538 vom Adler ἐλθὼν δ' ἐξ ὄρεος κτέ.

22 ταὶ μέν τ᾽ ἐν πεδίῳ νέφεα πτώσσουσαι ἵενται,
305 οἱ δέ τε τὰς ὀλέκουσιν ἐπάλμενοι, οὐδέ τις ἀλκή
γίγνεται οὐδὲ φυγή· χαίρουσι δέ τ᾽ ἀνέρες ἄγρῃ·
ὣς ἄρα τοὶ μνηστῆρας ἐπεσσύμενοι κατὰ δῶμα
τύπτον ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ᾽ ἀεικής
κράτων τυπτομένων, δάπεδον δ᾽ ἅπαν αἵματι θῦεν.
310 Λειώδης δ᾽ Ὀδυσῆος ἐπεσσύμενος λάβε γούνων,
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα.
„γουνοῦμαί σ᾽, Ὀδυσεῦ· σὺ δέ μ᾽ αἴδεο καί μ᾽ ἐλέησον.
οὐ γάρ πώ τινά φημι γυναικῶν ἐν μεγάροισιν
εἰπεῖν οὐδέ τι ῥέξαι ἀτάσθαλον· ἀλλὰ καὶ ἄλλους
315 παύεσκον μνηστῆρας, ὅ τις τοιαῦτά γε ῥέζοι.
ἀλλά μοι οὐ πείθοντο κακῶν ἀπὸ χεῖρας ἔχεσθαι·
τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.
αὐτὰρ ἐγὼ μετὰ τοῖσι θυοσκόος οὐδὲν ἐοργώς
κείσομαι, ὡς οὐκ ἔστι χάρις μετόπισθ᾽ εὐεργέων.“
320 τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς
„εἰ μὲν δὴ μετὰ τοῖσι θυοσκόος εὔχεαι εἶναι,
πολλάκι που μέλλεις ἀρήμεναι ἐν μεγάροισιν
τηλοῦ ἐμοὶ νόστοιο τέλος γλυκεροῖο γενέσθαι,

304—306. ταὶ μὲν — ἄγρῃ. Diese Verse geben parenthetisch die über den nächsten Vergleichungspunkt hinausgehende Ausmalung des Gleichnisses. — ἐν πεδίῳ — ἵενται, sie streben vorwärts, schiessen in der Ebene (niedrig, der Erde nahe) dahin vor den Wolken sich duckend, weil in den Wolken, in der bewölkten Höhe die Raubvögel über ihnen schweben.

305. τάς, d. h. ὄρνιθας.

306. ἀνέρες, als Zuschauer, doch selbst unbetheiligt bei dem Fang.

309. δάπεδον — θῦεν = λ, 420.

310. Λειώδης, vgl. φ, 144=162, wo er in etwas günstigerm Lichte erscheint.

312. γουνοῦμαι κτέ., wie Iliad. φ, 74.

313fg. τινὰ — ῥέξαι ἀτάσθαλον, wie δ, 693 οὔ ποτε — ἀτάσθαλον ἄνδρα ἐώργει.

316. κακῶν hängt von ἀπὸ — ἔχεσθαι ab.

318. μετὰ τοῖσι — κείσομαι, als wäre ich ihres Gleichen. Das beigefügte θυοσκόος deutet an, dass ein solcher schon an sich zur Ausübung von Gewalt nicht geeignet ist.

319. ὡς οὐκ ἔστι κτέ., wie denn (gewöhnlich) auf Wohlthat kein Dank folgt, vgl. δ, 695. Leiodes scheint sein Schicksal mit richtigem Blicke vorauszusehen.

322. μέλλεις ἀρήμεναι, du magst, wirst (gewiss) gefleht haben, vgl. zu δ, 274. Ueber die Form ἀρήμεναι wie von ἀράω vgl. Einl. S. 44.

323. τηλοῦ — γενέσθαι, dass

σοὶ δ' ἄλοχόν τε φίλην σπέσθαι καὶ τέκνα τεκέσθαι. 22
τῷ οὐκ ἂν θάνατόν γε δυσηλεγέα προφύγοισθα." 325
ὣς ἄρα φωνήσας ξίφος εἵλετο χειρὶ παχείῃ
κείμενον, ὅ ῥ' Ἀγέλαος ἀποπροέηκε χαμᾶζε
κτεινόμενος· τῷ τόν γε κατ' αὐχένα μέσσον ἔλασσεν.
φθεγγομένου δ' ἄρα τοῦ γε κάρη κονίῃσιν ἐμίχθη.
Τερπιάδης δέ τ' ἀοιδὸς ἀλύσκανε κῆρα μέλαιναν, 330
Φήμιος, ὅς ῥ' ἤειδε μετὰ μνηστῆρσιν ἀνάγκῃ.
ἔστη δ' ἐν χείρεσσιν ἔχων φόρμιγγα λίγειαν
ἄγχι παρ' ὀρσοθύρην· δίχα δὲ φρεσὶ μερμήριζεν,
ἢ ἐκδὺς μεγάροιο Διὸς μεγάλου ποτὶ βωμόν
ἕρκείου ἵζοιτο τετυγμένον, ἔνθ' ἄρα πολλά 335
Λαέρτης Ὀδυσεύς τε βοῶν ἐπὶ μηρί' ἔκηαν,
ἢ γούνων λίσσοιτο προσαΐξας Ὀδυσῆα.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
γούνων ἅψασθαι Λαερτιάδεω Ὀδυσῆος.
ἤτοι ὁ φόρμιγγα γλαφυρὴν κατέθηκε χαμᾶζε 340
μεσσηγὺς κρητῆρος ἰδὲ θρόνου ἀργυροήλου,
αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσαΐξας λάβε γούνων,
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα.
„γουνοῦμαί σ', Ὀδυσεῦ· σὺ δέ μ' αἴδεο καί μ' ἐλέησον.
αὐτῷ τοι μετόπισθ' ἄχος ἔσσεται, εἴ κεν ἀοιδόν 345
πέφνῃς, ὅς τε θεοῖσι καὶ ἀνθρώποισιν ἀείδω.
αὐτοδίδακτος δ' εἰμί, θεὸς δέ μοι ἐν φρεσὶν οἴμας

mir — fern bleibe, nie zu Theil werde.

324. σπέσθαι, vgl. zu δ, 38 ἅμα σπέσθαι.

329. φθεγγομένου κτέ., wie er noch redete, sank sein Haupt in den Staub hin, = Iliad. κ, 457.

330. Τερπιάδης — Φήμιος κτέ., vgl. zu α, 154. — ἀλύσκανε muss nach dem Zusammenhang Imperfectum sein, vgl. ὀφλισκάνω u. a.

333. ἄγχι παρ' ὀρσοθύρην, also im Hintergrunde, der Tiefe des Saales (μυχὸς μεγάρου 270) in der Nähe des θυσκόος φ, 146, vgl. unten 341 μεσσηγὺς κρητῆρος κτέ.

334. ἐκδὺς μεγάροιο, aus dem Saale entschlüpfend, ohne Zweifel vermittelst der ὀρσοθύρη. — ποτὶ βωμόν, im Hofe (ἕρκος); über den Weg, den er zu nehmen hatte, vgl. 126—130.

336. ἐπὶ μηρί' ἔκηαν = γ, 9.

337. γούνων λίσσοιτο, vgl. zu β, 68 mit ζ, 142.

345. αὐτῷ τοι, vgl. zu ζ, 35 τοι — αὐτῇ.

346. θεοῖσι, bei Festen und Opfermahlzeiten.

347. αὐτοδίδακτος, nicht von andern (Sängern) unterrichtet, wie

22 παντοίας ἐνέφυσεν· ἔοικα δέ τοι παραείδειν
ὥς τε θεῷ· τῷ μή με λιλαίεο δειροτομῆσαι.
350 καί κεν Τηλέμαχος τάδε γ' εἴποι, σὸς φίλος υἱός,
ὡς ἐγὼ οὔ τι ἑκὼν ἐς σὸν δόμον, οὐδὲ χατίζων,
πωλεύμην μνηστῆρσιν ἀεισόμενος μετὰ δαῖτας,
ἀλλὰ πολὺ πλέονες καὶ κρείσσονες ἦγον ἀνάγκῃ."
ὣς φάτο, τοῦ δ' ἤκουσ' ἱερὴ ἷς Τηλεμάχοιο,
355 αἶψα δ' ἑὸν πατέρα προσεφώνεεν ἐγγὺς ἐόντα
„ἴσχεο, μηδέ τι τοῦτον ἀναίτιον οὔταε χαλκῷ.
καὶ κήρυκα Μέδοντα σαώσομεν, ὅς τέ μευ αἰεί
οἴκῳ ἐν ἡμετέρῳ κηδέσκετο παιδὸς ἐόντος,
εἰ δὴ μή μιν ἔπεφνε Φιλοίτιος ἠὲ συβώτης,
360 ἠὲ σοὶ ἀντεβόλησεν ὀρινομένῳ κατὰ δῶμα."
ὣς φάτο, τοῦ δ' ἤκουσε Μέδων πεπνυμένα εἰδώς·
πεπτηὼς γὰρ ἔκειτο ὑπὸ θρόνον, ἀμφὶ δὲ δέρμα
ἕστο βοὸς νεόδαρτον, ἀλύσκων κῆρα μέλαιναν.
αἶψα δ' ὑπὸ θρόνου ὦρτο, θοῶς δ' ἀπέδυνε βοείην,
365 Τηλέμαχον δ' ἄρ' ἔπειτα προσαΐξας λάβε γούνων,
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα.
„ὦ φίλ', ἐγὼ μὲν ὅδ' εἰμί, σὺ δ' ἴσχεο· εἰπὲ δὲ πατρί
μή με περισθενέων δηλήσεται ὀξέι χαλκῷ,
ἀνδρῶν μνηστήρων κεχολωμένος, οἵ οἱ ἔκειρον

es bei weniger begabten Sängern der Fall gewesen zu sein scheint. Zu θεὸς δέ μοι — ἐνέφυσεν vgl. θ, 480fg. οὕνεκ' ἄρα σφέας οἶμας μοῦσ' ἐδίδαξε.

348fg. ἔοικα — θεῷ, videor (mihi) tibi tanquam deo accinere, d. h. mir ist, wenn ich vor dir singe, als singe ich vor einem Gotte, und darum werde ich gern und oft vor dir singen. Vgl. γ, 246 ὥς τέ μοι ἀθάνατος ἐνδάλλεται εἰσορόασθαι.

352. μετὰ δαῖτας, beim Mahle, vgl. δ, 194 ὀδυρόμενος μεταδόρπιος, und wegen des Casus bei μετὰ π, 419 μεθ' ὁμήλικας ἔμμεν ἄριστον.

359. εἰ δὴ μή μιν ἔπεφνε (vgl. ω, 434), wenn ihn wirklich (wie ich voraussetze) nicht etwa Philötios — getödtet hat.

362. πεπτηὼς — ὑπὸ θρόνον, unter den Lehnstuhl geduckt oder geschmiegt, vgl. 304 νέφεα πτώσσουσαι.

364. ὑπὸ θρόνου ὦρτο, er erhob sich unter dem Lehnstuhl hervor, vgl. zu ζ, 127 θάμνων ὑπεδύσετο.

367. ἐγὼ μὲν ὅδ' εἰμί, da bin ich, d. h. der, von dem ihr sprechet.

368. περισθενέων, übergewaltig, in seiner Uebermacht. δηλήσεται ist Conjunctiv.

κτήματ' ἐνὶ μεγάροις, σὲ δὲ νήπιοι οὐδὲν ἔτιον." 22
τὸν δ' ἐπιμειδήσας προσέφη πολύμητις Ὀδυσσεύς 371
„θάρσει, ἐπεὶ δή σ' οὗτος ἐρύσσατο καὶ ἐσάωσεν,
ὄφρα γνῷς κατὰ θυμόν, ἀτὰρ εἴπησθα καὶ ἄλλῳ,
ὡς κακοεργίης εὐεργεσίη μέγ' ἀμείνων.
ἀλλ' ἐξελθόντες μεγάρων ἕζεσθε θύραζε 375
ἐκ φόνου εἰς αὐλήν, σύ τε καὶ πολύφημος ἀοιδός,
ὄφρ' ἂν ἐγὼ κατὰ δῶμα πονήσομαι ὅττεό με χρή."
ὣς φάτο, τὼ δ' ἔξω βήτην μεγάροιο κιόντε,
ἑζέσθην δ' ἄρα τώ γε Διὸς μεγάλου ποτὶ βωμόν,
πάντοσε παπταίνοντε, φόνον ποτιδεγμένω αἰεί. 380
πάπτηνεν δ' Ὀδυσεὺς καθ' ἑὸν δόμον, εἴ τις ἔτ' ἀνδρῶν
ζωὸς ὑποκλοπέοιτο, ἀλύσκων κῆρα μέλαιναν.
τοὺς δὲ ἴδεν μάλα πάντας ἐν αἵματι καὶ κονίῃσιν
πεπτεῶτας πολλούς, ὥς τ' ἰχθύας, οὕς θ' ἁλιῆες
κοῖλον ἐς αἰγιαλὸν πολιῆς ἔκτοσθε θαλάσσης 385
δικτύῳ ἐξέρυσαν πολυωπῷ· οἱ δέ τε πάντες
κύμαθ' ἁλὸς ποθέοντες ἐπὶ ψαμάθοισι κέχυνται·
τῶν μέν τ' ἠέλιος φαέθων ἐξείλετο θυμόν.
ὣς τότ' ἄρα μνηστῆρες ἐπ' ἀλλήλοισι κέχυντο.
δὴ τότε Τηλέμαχον προσέφη πολύμητις Ὀδυσσεύς 390
„Τηλέμαχ', εἰ δ' ἄγε μοι κάλεσον τροφὸν Εὐρύκλειαν,
ὄφρα ἔπος εἴπωμι τό μοι καταθύμιόν ἐστιν."
ὣς φάτο, Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί,
κινήσας δὲ θύρην προσέφη τροφὸν Εὐρύκλειαν

376. πολύφημος ἀοιδὸς ist wie eine Umschreibung des Namens Φήμιος, der lautreiche, viellautige Sänger.

377. ὅττεό με χρή = τὸ δέον, das Nöthige.

380. φ. ποτιδεγμένω αἰεὶ enthält den Grund zu πάντοσε παπταίνοντε.

381. εἴ τις — ὑποκλοπέοιτο, ob einer sich heimlich verstecke, im Verstohlenen da sei.

383. μάλα πάντας — πολλούς, sie alle hingesunken in grosser Zahl. πολλοὺς = πολλοὺς ὄντας: es könnten πάντες sein, ohne dass sie auch πολλοί wären.

385. κοῖλος, hohl, d. i. tiefliegend, vertieft; vgl. κ, 92 ἔντοσθεν λιμένος κοίλοιο.

386—388. οἱ δέ τε — τῶν μέν τε, etwas lockere Aneinanderreihung der Sätze, wie oben 304 f. Uebrigens erwähnt Homer in dieser einzigen Stelle des Fischfanges mit dem Netze, in mehreren dagegen der Angelfischerei.

394. κινήσας = κρούσας, κόψας,

22 „δεῦρο δὴ ὄρσο, γρηῦ παλαιγενές, ἥ τε γυναικῶν
396 δμωάων σκοπός ἐσσι κατὰ μέγαρ᾽ ἡμετεράων.
ἔρχεο· κικλήσκει σε πατὴρ ἐμός, ὄφρα τι εἴπῃ.“
ὣς ἄρ᾽ ἐφώνησεν, τῇ δ᾽ ἄπτερος ἔπλετο μῦθος,
ὤιξεν δὲ θύρας μεγάρων εὖ ναιεταόντων,
400 βῆ δ᾽ ἴμεν· αὐτὰρ Τηλέμαχος πρόσθ᾽ ἡγεμόνευεν.
εὗρεν ἔπειτ᾽ Ὀδυσῆα μετὰ κταμένοισι νέκυσσιν,
αἵματι καὶ λύθρῳ πεπαλαγμένον ὥς τε λέοντα,
ὅς ῥά τε βεβρωκὼς βοὸς ἔρχεται ἀγραύλοιο·
πᾶν δ᾽ ἄρα οἱ στῆθός τε παρήιά τ᾽ ἀμφοτέρωθεν
405 αἱματόεντα πέλει, δεινὸς δ᾽ εἰς ὦπα ἰδέσθαι·
ὣς Ὀδυσεὺς πεπάλακτο πόδας καὶ χεῖρας ὕπερθεν.
ἡ δ᾽ ὡς οὖν νέκυάς τε καὶ ἄσπετον εἴσιδεν αἷμα,
ἴθυσέν ῥ᾽ ὀλολύξαι, ἐπεὶ μέγα εἴσιδεν ἔργον·
ἀλλ᾽ Ὀδυσεὺς κατέρυκε καὶ ἔσχεθεν ἱεμένην περ,
410 καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
„ἐν θυμῷ, γρηῦ, χαῖρε, καὶ ἴσχεο μηδ᾽ ὀλόλυζε·
οὐχ ὁσίη κταμένοισιν ἐπ᾽ ἀνδράσιν εὐχετάασθαι.
τούσδε δὲ μοῖρ᾽ ἐδάμασσε θεῶν καὶ σχέτλια ἔργα·
οὔ τινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων,
415 οὐ κακόν, οὐδὲ μὲν ἐσθλόν, ὅ τίς σφεας εἰσαφίκοιτο·
τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.

anpochend an der Thüre (in's Frauengemach).

400. *αὐτὰρ — ἡγεμόνευεν.* Diese Formel deutet einen weitern Weg an, wahrscheinlich durch die *λαύρη*, vgl. zu 126. Denn die nächste Thüre aus dem Frauengemach gegen den Männersaal sollte wegen der andern Mägde jetzt noch nicht geöffnet werden.

401. *μετὰ κταμένοισι νέκυσσιν*, mitten unter den erschlagenen Leichen, vgl. 448 = *κ*, 530.

402. *πεπαλαγμένον* gehört zu *Ὀδυσῆα*.

408. *ἴθυσεν*, sie begann, hob an. Zu *ὀλολύξαι* (aufjauchzen) vgl. *γ*, 450.

411. *ἐν θυμῷ χαῖρε*, vgl. *σ*, 142 *ἀλλ᾽ ὅ γε σιγῇ δῶρα θεῶν ἔχοι ὅ τ᾽ τι διδοῖεν* und Einleit. S. 17 unten. Propertius: In tacito cohibe gaudia clausa sinu.

413. *τούσδε δὲ — ἔργα*, nur den gerechten Göttern, nicht uns gebührt die Ehre.

415. *οὐ κακὸν — ἐσθλόν = ψ*, 66, nicht den Schlechten noch wahrlich den Edlen, d. h. gar keinen, den Edlen wo möglich noch weniger. Vgl. *κ*, 94 *οὔτε μέγ᾽ οὔτ᾽ ὀλίγον*. Genes. 31, 24: Hüte dich, dass du mit Jakob weder Gutes noch Böses redest (nach der hier genauern Zürcher Uebersetzung).

ἀλλ᾽ ἄγε μοι σὺ γυναῖκας ἐνὶ μεγάροις κατάλεξον, 22
αἵ τέ μ᾽ ἀτιμάζουσι καὶ αἳ νηλειτεῖς εἰσίν."
τὸν δ᾽ αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια
„τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω. 420
πεπτήκοντά τοί εἰσιν ἐνὶ μεγάροισι γυναῖκες
δμωαί, τὰς μέν τ᾽ ἔργα διδάξαμεν ἐργάζεσθαι,
εἴριά τε ξαίνειν καὶ δουλοσύνην ἀνέχεσθαι.
τάων δώδεκα πᾶσαι ἀναιδείης ἐπέβησαν,
οὔτ᾽ ἐμὲ τίουσαι οὔτ᾽ αὐτὴν Πηνελόπειαν. 425
Τηλέμαχος δὲ νέον μὲν ἀέξετο, οὐδέ ἑ μήτηρ
σημαίνειν εἴασκεν ἐπὶ δμωῇσι γυναιξίν.
ἀλλ᾽ ἄγ᾽ ἐγὼν ἀναβᾶσ᾽ ὑπερώια σιγαλόεντα
εἴπω σῇ ἀλόχῳ, τῇ τις θεὸς ὕπνον ἐπῶρσεν."
τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς 430
„μή πω τήν γ᾽ ἐπέγειρε· σὺ δ᾽ ἐνθάδε εἰπὲ γυναιξίν
ἐλθέμεν, αἵ περ πρόσθεν ἀεικέα μηχανόωντο."
ὣς ἄρ᾽ ἔφη, γρηῦς δὲ διὲκ μεγάροιο βεβήκει
ἀγγελέουσα γύναιξὶ καὶ ὀτρυνέουσα νέεσθαι.
αὐτὰρ ὁ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην 435
εἰς ἓ καλεσσάμενος ἔπεα πτερόεντα προσηύδα.
„ἄρχετε νῦν νέκυας φορέειν, καὶ ἄνωχθε γυναῖκας·
αὐτὰρ ἔπειτα θρόνους περικαλλέας ἠδὲ τραπέζας
ὕδατι καὶ σπόγγοισι πολυτρήτοισι καθαίρειν.
αὐτὰρ ἐπὴν δὴ πάντα δόμον κατακοσμήσησθε, 440
δμωὰς ἐξαγαγόντες ἐυσταθέος μεγάροιο,
μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς,

417 fg. *ἀλλ᾽ ἄγε — εἰσίν*, vgl. zu *τ*, 500 und über *νηλειτεῖς* insbesondere zu *π*, 317.

421. *πεντήκοντα*, wie bei Alkinoos *η*, 103.

424. *ἀναιδείης ἐπέβησαν*, sie haben die Schamlosigkeit betreten, den Weg der Schamlosigkeit, schamloser Frechheit eingeschlagen, *δι᾽ ἀναιδείας ἦλθον*.

426. *νέον ἀέξετο*, er wuchs eben heran.

431. *ἐνθάδε* ist mit *ἐλθέμεν* zu verbinden.

436. *εἰς ἓ καλεσσάμενος*, er rief zu sich heran, gleichbedeutend mit *ρ*, 342 *ἐπὶ οἱ καλέσας*. Dieselbe Verbindung, doch in etwas verschiedener Bedeutung, findet sich Iliad. *ψ*, 203 *κάλεόν τέ μιν εἰς ἕ ἕκαστος*.

442. *μεσσηγύς τε θόλου κτέ.*, Ortsbestimmung zu *ἐξαγαγόντες* auf die Frage wohin? = in den

22 θεινέμεναι ξίφεσιν τανυήκεσιν, εἰς ὅ κε πασέων
ψυχὰς ἐξαφέλησθε, καὶ ἐκλελάθοιντ' Ἀφροδίτης,
445 τὴν ἔρ' ὑπὸ μνηστῆρσιν ἔχον, μίσγοντό τε λάθρῃ."
ὣς ἔφαθ', αἱ δὲ γυναῖκες ἀολλέες ἦλθον ἅπασαι,
αἴν' ὀλοφυρόμεναι, θαλερὸν κατὰ δάκρυ χέουσαι.
πρωτα μὲν οὖν νέκυας φόρεον κατατεθνηῶτας,
κὰδ δ' ἄρ' ὑπ' αἰθούσῃ τίθεσαν εὐερκέος αὐλῆς,
450 ἀλλήλῃσιν ἐρείδουσαι. σήμαινε δ' Ὀδυσσεύς
αὐτὸς ἐπισπέρχων· ταὶ δ' ἐκφόρεον καὶ ἀνάγκῃ.
αὐτὰρ ἔπειτα θρόνους περικαλλέας ἠδὲ τραπέζας
ὕδατι καὶ σπόγγοισι πολυτρήτοισι κάθαιρον.
αὐτὰρ Τηλέμαχος καὶ βουκόλος ἠδὲ συβώτης
455 λίστροισιν δάπεδον πύκα ποιητοῖο δόμοιο
ξῦον· ταὶ δ' ἐφόρεον δμωαί, τίθεσαν δὲ θύραζε.
αὐτὰρ ἐπεὶ δὴ πᾶν μέγαρον διεκοσμήσαντο,
δμωὰς δ' ἐξαγαγόντες ἐυσταθέος μεγάροιο,
μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς,
460 εἴλεον ἐν στείνει, ὅθεν οὔ πως ἦεν ἀλύξαι.

Raum zwischen dem Gewölbe u. s. w. *θόλος* (wahrscheinlich „etwas Rundes"), ein rundes Gebäude mit kuppelförmigem, schmal zusammenlaufendem Dache, zur Aufbewahrung der Geräthschaften, die bei gemeinsamen Gastmählern und Gelagen gebraucht wurden. Seine Stelle muss es gerade vor der innern Säulenhalle und nahe an der Hofmauer gehabt haben (vgl. 460 *εἴλεον ἐν στείνει*). — *ἀμύμονος* gehört zu *ἕρκεος* = 459.

444. *καὶ ἐκλελάθοιντο*, und sie dann vergessen, wo sie vergässen. Zum Wechsel des Modus vgl. das bei 77 Bemerkte.

445. *μίσγ. τε λάθρῃ*, s. v. a. *λάθρῃ μισγόμεναι αὐτοῖς*.

446. *αἱ δὲ γυναῖκες*, nämlich die zwölf 424 bezeichneten. — *ἀολλέες*, in einander gedrängt, aus Furcht vor der sie erwartenden Strafe.

449. *ὑπ' αἰθούσῃ — αὐλῆς*, also in der äussern Säulenhalle zu beiden Seiten des (noch verschlossenen) Hofthores, innerhalb des Hofes, daher *ψ*, 49 *ἐπ' αὐλείῃσι θύρῃσιν*, vgl. zu *θ*, 57 und *α*, 103.

450. *ἀλλήλῃσιν ἐρείδουσαι* ist mit dem ersten und Hauptverbum *φόρεον* zu verbinden, *ἐρείδουσαι* aber intransitiv zu nehmen: gegen einander sich stemmend, anstrebend, indem je zwei an einem Leichnam trugen und eine gegen die andere einen Widerhalt oder eine Gegenstütze (*ἀντίβασις*, *ἀντέρεισις*) bildete. Die gewöhnliche Lesart ist *ἀλλήλοισιν*, auf die Leichname bezogen, wo dann *ἐρείδουσαι* transitiv bleibt.

452. *αὐτὰρ ἔπειτα* in Beziehung auf *πρῶτα μέν* 448.

456. *ἐφόρεον*, sie trugen hinaus, nämlich was die Männer mit den Schaufeln (Schurfeisen) vom Boden losgemacht, abgeschürft hatten, den Unrath, Kehricht.

τοῖσι δὲ Τηλέμαχος πεπνυμένος· ἦρχ' ἀγορεύειν· 22
„μὴ μὲν δὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν ἑλοίμην
τάων, αἳ δὴ ἐμῇ κεφαλῇ κατ' ὀνείδεα χεῦαν
μητέρι θ' ἡμετέρῃ, παρά τε μνηστῆρσιν ἴαυον."
ὣς ἄρ' ἔφη, καὶ πεῖσμα νεὸς κυανοπρώροιο 465
κίονος ἐξάψας μεγάλης περίβαλλε θόλοιο,
ὑψόσ' ἐπεντανύσας, μή τις ποσὶν οὖδας ἵκοιτο.
ὡς δ' ὅτ' ἂν ἢ κίχλαι τανυσίπτεροι ἠὲ πέλειαι
ἕρκει ἐνιπλήξωσι, τό θ' ἑστήκῃ ἐνὶ θάμνῳ,
αὖλιν ἐσιέμεναι, στυγερὸς δ' ὑπεδέξατο κοῖτος, 470
ὣς αἵ γ' ἑξείης κεφαλὰς ἔχον, ἀμφὶ δὲ πάσαις
δειρῇσι βρόχοι ἦσαν, ὅπως οἴκτιστα θάνοιεν.
ἤσπαιρον δὲ πόδεσσι μίνυνθά περ, οὔ τι μάλα δήν.
ἐκ δὲ Μελάνθιον ἦγον ἀνὰ πρόθυρόν τε καὶ αὐλήν·
τοῦ δ' ἀπὸ μὲν ῥῖνάς τε καὶ οὔατα νηλέι χαλκῷ 475
τάμνον, μήδεά τ' ἐξέρυσαν, κυσὶν ὠμὰ δάσασθαι,
χεῖράς τ' ἠδὲ πόδας κόπτον κεκοτηότι θυμῷ.
οἱ μὲν ἔπειτ' ἀπονιψάμενοι χεῖράς τε πόδας τε
εἰς Ὀδυσῆα δόμονδε κίον, τετέλεστο δὲ ἔργον·
αὐτὰρ ὅ γε προσέειπε φίλην τροφὸν Εὐρύκλειαν 480

461 f. *τοῖσι δέ*, zu den andern, seinen Gehülfen. *καθαρῷ*, d. h. nicht entehrend.

465. *πεῖσμα ν. κ.*, vgl. *φ*, 390 *ὅπλον ν. ἀμφιελίσσης βύβλινον.*

466. *κίονος ἐξάψας κτέ.* Das eine Ende des Seiles befestigte er an einer der hohen Säulen der Halle (vgl. zu 442), das andere um den obern (engern) Theil des Rundgebäudes (*περίβαλλε — ὑψόσε ἐπ.*); dann knüpfte er (471 fg.) zwölf Schlingen daran, und nachdem er diese den Mägden allen um den Hals gelegt, zog er (467) das Seil straff in die Höhe, dass keine den Boden erreichte. Es ist aber zu bemerken, dass der Dichter die abstossendsten Züge dieses Bildes (das Umschlingen der Hälse und das Aufziehen) in der Haupterzählung nicht schildert, sondern als sich von selbst verstehend übergeht, und nur in die Anwendung des Gleichnisses einflicht.

470. *αὖλιν ἐσιέμεναι*, ihre Ruhestatt suchend, darnach verlangend (von *εἰσίημι*). Den Gegensatz zu dieser Bestimmung macht in veränderter Construction das folgende Glied *στυγερὸς δ' ὑπεδέξατο κοῖτος.*

473. *μίνυνθα — δήν*, nur kurze Zeit, gar nicht sehr lange, = Iliad. *ν*, 573, vgl. Iliad. *κ*, 113 *ἑκαστάτω, οὐδὲ μάλ' ἐγγύς.* Zu *δὴν* vgl. *α*, 203.

474. *ἀνὰ πρόθυρόν τε καὶ αὐλήν*, durch Vorhaus, Thürweg und Hof hin, doch nicht ausser den Hof, vgl. *φ*, 389—391 und *ψ*, 135—139.

478. *οἱ μέν*, d. i. *οἱ ἀμφὶ Τηλέμαχον* (454).

22 „οἶσε θέειον, γρηῦ, κακῶν ἄκος, οἶσε δέ μοι πῦρ,
ὄφρα θεειώσω μέγαρον. σὺ δὲ Πηνελόπειαν
ἐλθεῖν ἐνθάδ' ἄνωχθι σὺν ἀμφιπόλοισι γυναιξίν·
πάσας δ' ὄτρυνον δμωὰς κατὰ δῶμα νέεσθαι."
485 τὸν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια
„ναὶ δὴ ταῦτά γε, τέκνον ἐμόν, κατὰ μοῖραν ἔειπες.
ἀλλ' ἄγε τοι χλαῖνάν τε χιτῶνά τε εἵματ' ἐνείκω,
μηδ' οὕτω ῥάκεσιν πεπυκασμένος εὐρέας ὤμους
ἕσταθ' ἐνὶ μεγάροισι· νεμεσσητὸν δέ κεν εἴη."
490 τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς
„πῦρ νῦν μοι πρώτιστον ἐνὶ μεγάροισι γενέσθω."
ὣς ἔφατ', οὐδ' ἀπίθησε φίλη τροφὸς Εὐρύκλεια,
ἤνεικεν δ' ἄρα πῦρ καὶ θήιον. αὐτὰρ Ὀδυσσεὺς
εὖ διεθείωσεν μέγαρον καὶ δῶμα καὶ αὐλήν.
495 γρηῦς δ' αὖτ' ἀπέβη διὰ δώματα κάλ' Ὀδυσῆος
ἀγγελέουσα γυναιξὶ καὶ ὀτρυνέουσα νέεσθαι·
αἱ δ' ἴσαν ἐκ μεγάροιο δάος μετὰ χερσὶν ἔχουσαι.
αἱ μὲν ἄρ' ἀμφεχέοντο καὶ ἠσπάζοντ' Ὀδυσῆα,
καὶ κύνεον ἀγαπαζόμεναι κεφαλήν τε καὶ ὤμους
500 χεῖράς τ' αἰνύμεναι· τὸν δὲ γλυκὺς ἵμερος ἥρει
κλαυθμοῦ καὶ στοναχῆς, γίγνωσκε δ' ἄρα φρεσὶ πάσας.

XXIII.

Ψ γρηῦς δ' εἰς ὑπερῷ' ἀνεβήσετο καγχαλόωσα,
δεσποίνῃ ἐρέουσα φίλον πόσιν ἔνδον ἐόντα·

482. *μέγαρον*, hier das ganze Haus, vgl. zu 494.

484. *πάσας*, alle noch übrigen ausser den hingerichteten. — *κατὰ δῶμα νέεσθαι*, in den Saal (Männersaal) kommen.

494. *μέγαρον* — *δῶμα* — *αὐλήν*, die drei Haupttheile des Hauses, die Iliad. ζ, 316 durch *θάλαμον κ. δῶμα κ. αὐλὴν* bezeichnet werden. Demnach ist *μέγαρον* hier das Frauengemach als das innerste, wie auch 497, *δῶμα* der Männersaal wie 484 und *δώματα καλά* 495. Das ganze Haus sollte gereinigt werden und in ein neues Verhältniss zu den Göttern treten, obgleich allerdings der Freiermord das Frauengemach selbst nicht berührt hatte.

497. *δάος μετὰ χερσὶν ἔχουσαι*. Also war es erst jetzt Nacht geworden; vgl. φ, 428 fg. *δόρπον Ἀχαιοῖσιν τετυκέσθαι ἐν φάει*.

1. *εἰς ὑπερῷ' ἀνεβήσετο*, nach dem χ, 482 fg. erhaltenen Auftrage.

γούνατα δ' ἐρρώσαντο, πόδες δ' ὑπερικταίνοντο. 23
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·
„ἔγρεο, Πηνελόπεια, φίλον τέκος, ὄφρα ἴδηαι 5
ὀφθαλμοῖσι τεοῖσι τά τ' ἔλδεαι ἤματα πάντα.
ἦλθ' Ὀδυσεὺς καὶ οἶκον ἱκάνεται ὀψέ περ ἐλθών,
μνηστῆρας δ' ἔκτεινεν ἀγήνορας, οἵ τέ οἱ οἶκον
κήδεσκον καὶ κτήματ' ἔδον βιόωντό τε παῖδα."
τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια 10
„μαῖα φίλη, μάργην σε θεοὶ θέσαν, οἵ τε δύνανται
ἄφρονα ποιῆσαι καὶ ἐπίφρονά περ μάλ' ἐόντα,
καί τε χαλιφρονέοντα σαοφροσύνης ἐπέβησαν·
οἵ σέ περ ἔβλαψαν· πρὶν δὲ φρένας αἰσίμη ἦσθα.
τίπτε με λωβεύεις πολυπενθέα θυμὸν ἔχουσαν 15
ταῦτα παρὲξ ἐρέουσα, καὶ ἐξ ὕπνου μ' ἀνεγείρεις
ἡδέος, ὅς μ' ἐπέδησε φίλα βλέφαρ' ἀμφικαλύψας;
οὐ γάρ πω τοιόνδε κατέδραθον, ἐξ οὗ Ὀδυσσεύς
ᾤχετ' ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν.
ἀλλ' ἄγε νῦν κατάβηθι καὶ ἂψ ἔρχευ μέγαρόνδε. 20
εἰ γάρ τίς μ' ἄλλη γε γυναικῶν, αἵ μοι ἔασιν,
ταῦτ' ἐλθοῦσ' ἤγγειλε καὶ ἐξ ὕπνου ἀνέγειρεν,
τῷ κε τάχα στυγερῶς μιν ἐγὼν ἀπέπεμψα νέεσθαι

3. ἐρρώσαντο, vgl. zu υ, 107 ἐπερρώοντο. — ὑπερικταίνοντο, sie bewegten sich lebhaft, sie hüpften oder trippelten eilig. Das als Simplex ungebräuchliche ἰκταίνομαι scheint eine Art Intensivum zu sein; vgl. das Adverbium ἴκταρ, in Einem Schlag oder Wurf, (uno) ictu.

7. ἱκάνεται hat Perfectbedeutung, wie häufig; vgl. zu ξ, 159 ἦν (ἐστίν) ἀφικάνω.

9. κήδεσκον, in's Unglück brachten, Leid über dasselbe verhängten, vgl. 306 ὅσα κήδε' ἔθηκεν ἀνθρώποις.

13. σαοφροσύνης ἐπέβησαν = σαόφρονα ἐποίησαν, schon oft mit vernünftigem, bescheidenem Sinne begabten. ἐπιβῆσαι, das Causativum von ἐπιβῆναι χ, 424.

16. παρέξ, vgl. zu δ, 348. — ἐρέουσα, sonst Futurum, steht hier als Präsens, wie Hesiod. Theogon. 38 der Plural εἰρεῦσαι, parallel mit ὑμνεῦσαι. Sonst ist das epische Präsens εἴρω (vgl. zu β, 162).

19. ᾤχετ' — ὀνομαστήν = τ, 260, vgl. 596 fg.

21. εἰ γάρ τίς μ' ἄλλη γε. Das Pronomen μέ scheint vom Verbum ἀνέγειρεν abzuhängen, das, wenn auch entfernter, doch der Sprechenden als Hauptbegriff zuerst vorschwebt und auch in der Wirklichkeit dem — parenthetischen — ἤγγειλε vorangeht. Stände μ' ἄλλη für μοὶ ἄλλη (vgl. zu α, 60), so hiesse es wohl nachher ἐξ ὕπνου μ' ἀνέγειρεν, wie 16.

23 αὖτις ἔσω μέγαρον· σὲ δὲ τοῦτό γε γῆρας ὀνήσει."
25 τὴν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια
„οὔ τί σε λωβεύω, τέκνον φίλον, ἀλλ' ἔτυμόν τοι
ἦλθ' Ὀδυσεὺς καὶ οἶκον ἱκάνεται, ὡς ἀγορεύω,
ὁ ξεῖνος, τὸν πάντες ἀτίμων ἐν μεγάροισιν.
Τηλέμαχος δ' ἄρα μιν πάλαι ᾔδεεν ἔνδον ἐόντα,
30 ἀλλὰ σαοφροσύνῃσι νοήματα πατρὸς ἔκευθεν,
ὄφρ' ἀνδρῶν τίσαιτο βίην ὑπερηνορεόντων."
ὣς ἔφαθ', ἡ δ' ἐχάρη, καὶ ἀπὸ λέκτροιο θοροῦσα
γρηὶ περιπλέχθη, βλεφάρων δ' ἀπὸ δάκρυον ἧκεν,
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα.
35 „εἰ δ' ἄγε δή μοι, μαῖα φίλη, νημερτὲς ἐνίσπες,
εἰ ἐτεὸν δὴ οἶκον ἱκάνεται, ὡς ἀγορεύεις,
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφῆκεν
μοῦνος ἐών, οἱ δ' αἰὲν ἀολλέες ἔνδον ἔμιμνον."
τὴν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια
40 „οὐκ ἴδον, οὐ πυθόμην, ἀλλὰ στόνον οἷον ἄκουσα
κτεινομένων· ἡμεῖς δὲ μυχῷ θαλάμων εὐπήκτων
ἥμεθ' ἀτυζόμεναι, σανίδες δ' ἔχον εὖ ἀραρυῖαι,
πρίν γ' ὅτε δή με σὸς υἱὸς ἀπὸ μεγάροιο κάλεσσεν
Τηλέμαχος· τὸν γάρ ῥα πατὴρ προέηκε καλέσσαι.
45 εὗρον ἔπειτ' Ὀδυσῆα μετὰ κταμένοισι νέκυσσιν
ἑσταότ'· οἱ δέ μιν ἀμφί, κραταίπεδον οὐδας ἔχοντες,

24. ἔσω μέγαρον, vgl. ο, 40 ὀτρῦναι πόλιν εἴσω. — τοῦτό γε — ὀνήσει, es wird dir wenigstens diesen Vortheil gewähren, nämlich τὸ μὴ στυγερῶς ἀποπεμφθῆναι.

28. ὁ ξεῖνος, der Fremdling, eben der Fremdling.

33. γρηὶ περιπλέχθη. Die frohe Botschaft übernimmt sie, aber nur für den Augenblick. — ἀπὸ δάκρυον ἧκεν, die Thränen schossen ihr aus den Augen.

35 fg. νημ. ἐνίσπες. Object zu diesem Verbum ist der Satz ὅππως δὴ — ἐφῆκεν. Zu dem bedingenden εἰ δὴ vgl. χ, 359.

38. οἱ δ' — ἔμιμνον, während jene immer beisammen im Saale blieben.

40. οὐκ ἴδον οὐ πυθ., Asyndeton der lebhaften Rede, wie π, 136 γιγνώσκω, φρονέω, = οὔτε αὐτὴ εἶδον, οὔτε ἄλλων ἐπυθόμην.

41. μυχῷ θαλάμων, in der Tiefe, Verborgenheit unsers Gemaches, vgl. π, 285.

42. σανίδες — ἀραρυῖαι (erg. ἡμᾶς) hier anders als χ, 128.

43. κάλεσσεν Τηλ., vgl. χ, 393—397.

45 εὗρον — νέκυσσιν = χ, 401.

46. κραταίπεδον, fest-gestampft oder getreten, vgl. zu φ, 120—122.

κείατ' ἐπ' ἀλλήλοισιν· ἰδοῦσά κε θυμὸν ἰάνθης 23
[αἵματι καὶ λύθρῳ πεπαλαγμένον ὥς τε λέοντα].
νῦν δ' οἱ μὲν δὴ πάντες ἐπ' αὐλείῃσι θύρῃσιν
ἁθρόοι, αὐτὰρ ὁ δῶμα θεειοῦται περικαλλές, 50
πῦρ μέγα κηάμενος· σὲ δέ με προέηκε καλέσσαι.
ἀλλ' ἔπευ, ὄφρα σφῶιν ἐυφροσύνης ἐπιβῆτον
ἀμφοτέρων φίλον ἦτορ, ἐπεὶ κακὰ πολλὰ πέποσθε.
νῦν δ' ἤδη τόδε μακρὸν ἐέλδωρ ἐκτετέλεσται·
ἦλθε μὲν αὐτὸς ζωὸς ἐφέστιος, εὗρε δὲ καὶ σέ 55
καὶ παῖδ' ἐν μεγάροισι· κακῶς δ' οἵ πέρ μιν ἔρεζον
μνηστῆρες, τοὺς πάντας ἐτίσατο ᾧ ἐνὶ οἴκῳ."

τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια
„μαῖα φίλη, μή πω μέγ' ἐπεύχεο καγχαλόωσα.
οἶσθα γὰρ ὥς κ' ἀσπαστὸς ἐνὶ μεγάροισι φανείη 60
πᾶσι, μάλιστα δ' ἐμοί τε καὶ υἱέι, τὸν τεκόμεσθα·
ἀλλ' οὐκ ἔσθ' ὅδε μῦθος ἐτήτυμος, ὡς ἀγορεύεις,
ἀλλά τις ἀθανάτων κτεῖνε μνηστῆρας ἀγαυούς,
ὕβριν ἀγασσάμενος θυμαλγέα καὶ κακὰ ἔργα.
οὔ τινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων, 65
οὐ κακόν, οὐδὲ μὲν ἐσθλόν, ὅ τίς σφεας εἰσαφίκοιτο·
τῷ δι' ἀτασθαλίας ἔπαθον κακόν. αὐτὰρ Ὀδυσσεὺς
ὤλεσε τηλοῦ νόστον Ἀχαιΐδος, ὤλετο δ' αὐτός."

47. ἐπ' ἀλλήλοισιν = χ, 389 ἐπ' ἀλλήλοισι κέχυντο.

48. αἵματι — λέοντα ist aus χ, 402 hier gegen den Zusammenhang wiederholt; denn bei ἰδοῦσα ist an die Niederlage der Freier zu denken, vgl. χ, 407 f.

50. δῶμα θεειοῦται, vgl. χ, 494.

51. σὲ δέ με. Die Stellung ist richtig, da der Sinn ist: dich lässt er — durch mich rufen.

52 fg. ὄφρα σφῶιν — ἐπιβῆτον κτέ. Diese überlieferte Lesart, worin der gemüthliche Dativ σφῶιν allerdings passender erscheint als der Nominativ σφῶι — kann wohl nur gerettet werden, wenn man annimmt, ἀμφοτέρων φίλον ἦτορ sei Subject und dem Sinne nach (da es s. v. a. ἀμφοτέρ. φίλω ἤτορε ist) mit dem Dual ἐπιβῆτον construirt. — ἐπεὶ — πέποσθε = Iliad. γ, 99.

55. ἦλθε — ἐφέστιος, zgl. zu η, 248 ἐφέστιον ἤγαγε.

60. οἶσθα γὰρ κτέ., d. h. du kennst meine und Telemach's Sehnsucht, ihn wieder bei uns zu sehen.

63. ἀλλά τις ἀθανάτων κτέ. Sie meint hier ein unmittelbares Einschreiten des Gottes, anders als χ, 413.

65 fg. οὔ τινα — εἰσαφίκοιτο, = χ, 414 fg.

68. ὤλεσε τηλοῦ κτέ. Da νόστος sonst nirgends einen Objectsgenitiv

23 τὴν δ' ἠμείβετ' ἔπειτα φίλη τροφὸς Εὐρύκλεια
70 „τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων,
ἣ πόσιν ἔνδον ἐόντα παρ' ἐσχάρῃ οὔ ποτ' ἔφησθα
οἴκαδ' ἐλεύσεσθαι· θυμὸς δέ τοι αἰὲν ἄπιστος.
ἀλλ' ἄγε τοι καὶ σῆμα ἀριφραδὲς ἄλλο τι εἴπω,
οὐλήν, τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι.
75 τὴν ἀπονίζουσα φρασάμην, ἔθελον δὲ σοὶ αὐτῇ
εἰπέμεν· ἀλλά με κεῖνος ἑλὼν ἐπὶ μάστακα χερσίν
οὐκ ἔα εἰπέμεναι πολυϊδρείῃσι νόοιο.
ἀλλ' ἕπευ· αὐτὰρ ἐγὼν ἐμέθεν περιδώσομαι αὐτῆς,
αἴ κέν σ' ἐξαπάφω, κτεῖναί μ' οἰκτίστῳ ὀλέθρῳ."
80 τὴν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια
„μαῖα φίλη, χαλεπόν σε θεῶν αἰειγενετάων
δήνεα εἴρυσθαι, μάλα περ πολύιδριν ἐοῦσαν·
ἀλλ' ἔμπης ἴομεν μετὰ παῖδ' ἐμόν, ὄφρα ἴδωμαι
ἄνδρας μνηστῆρας τεθνηότας, ἠδ' ὃς ἔπεφνεν."
85 ὣς φαμένη κατέβαιν' ὑπερώια· πολλὰ δέ οἱ κῆρ
ὥρμαιν', ἢ ἀπάνευθε φίλον πόσιν ἐξερεείνοι,
ἦ παροτᾶσα κύσειε κάρη καὶ χεῖρε λαβοῦσα.

bei sich hat (ausser ε, 344, wo die Anmerkung zu vergleichen), so verbinde Ἀχαιΐδος mit τηλοῦ, und vgl. ν, 249 τηλοῦ Ἀχαιΐδος ἔμμεναι αἴης.

71. ἣ — ἔφησθα, Erklärung von ποῖον ἔπος, dass du (so eben 67 fg.) sagtest. — παρ' ἐσχάρῃ = 55 ἐφέστιος.

72. οἴκαδ' — ἄπιστος, vgl. ξ, 150. (391).

74. οὐλὴν — ὀδόντι = τ, 393. οὐλὴν ist Apposition zu σῆμα.

76. ἑλὼν ἐπὶ μάστακα, vgl. zu δ, 287 ἐπὶ μ. χερσὶ πίεζεν.

78. ἐμέθεν περιδώσομαι αὐτῆς, ich will um mich selbst, mein Leben wetten, mein Leben als Pfand setzen. Der folgende Infinitiv κτεῖναί με bezeichnet die Folge. Eigentlich sollte man erwarten ἐμὲ περιδώσομαι αὐτὴν τοῦ μὴ ἐξαπαφεῖν σε, ich will mich selbst darum oder dafür geben, dass ich dich nicht täusche; aber bei einem Verbum, worin der Begriff des Tausches liegt, lässt sich diese Verwechselung der Objecte wohl begreifen.

81 fg. θεῶν δήνεα εἴρυσθαι, der Götter Rathschlüsse, verborgene Absichten durch genaues Beobachten (π, 463) erforschen, gleichsam erlauschen. So könnte auch die Erscheinung des Zeichens an dem Fremdling auf einem geheimen Rathschluss der Götter beruhen und doch täuschend sein.

85. κατέβαιν' ὑπερώια = σ, 206, vgl. zu α, 330.

86. ὥρμαιν' ἢ — ἐξερεείνοι ἢ — κύσειε. Sie schwankt, ob sie das eine oder andere thun solle, thut aber dann keines von beiden, weil sie überhaupt zu keinem Entschlusse kommen kann.

ἡ δ᾽ ἐπεὶ εἰσῆλθεν καὶ ὑπέρβη λάινον οὐδόν, 23
ἕζετ᾽ ἔπειτ᾽ Ὀδυσῆος ἐναντίη, ἐν πυρὸς αὐγῇ,
τοίχου τοῦ ἑτέρου· ὁ δ᾽ ἄρα πρὸς κίονα μακρήν 90
ἧστο κάτω δρόων, ποτιδέγμενος εἴ τί μιν εἴποι
ἰφθίμη παράκοιτις, ἐπεὶ ἴδεν ὀφθαλμοῖσιν.
ἡ δ᾽ ἄνεω δὴν ἧστο, τάφος δέ οἱ ἦτορ ἵκανεν·
ὄψει δ᾽ ἄλλοτε μέν μιν ἐνωπαδίως ἐσίδεσκεν,
ἄλλοτε δ᾽ ἀγνώσσασκε κακὰ χροῖ εἵματ᾽ ἔχοντα. 95
Τηλέμαχος δ᾽ ἐνένιπεν, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
„μῆτερ ἐμὴ δύσμητερ, ἀπηνέα θυμὸν ἔχουσα,
τίφθ᾽ οὕτω πατρὸς νοσφίζεαι, οὐδὲ παρ᾽ αὐτόν
ἑζομένη μύθοισιν ἀνείρεαι οὐδὲ μεταλλᾷς;

88. *λάινον οὐδόν*, zwischen dem Frauengemach und dem Mäpnersaal.

89 fg. *ἕζετο — τοίχου τοῦ ἑτέρου*, ganz ähnlich wie Iliad. *ι*, 218 fg. *ω*, 598. — *ἐν πυρὸς αὐγῇ*, d. h. neben, ein wenig hinter dem Herde, sass auch Arete, des Alkinoos Gemahlin, nach *ζ*, 305. „An der einen Wand" ist wohl an der einen der Zwischenwände, die sich im *μέγαρον* vor dem *μυχός*, rechts und links vom Durchgang in's Frauengemach, befinden. Nach Rumpf.

90. *πρὸς κίονα μακρήν*, wahrscheinl. gegenüber, an der andern Zwischenwand, also am Eckpfeiler derselben.

91. *εἴ τί μιν εἴποι*. Ungewöhnliche Construction, *εἰπεῖν τινά τι* für: etwas zu einem sagen, also = *προσειπεῖν*.

ἡ δ' οὔτ' ἠρνεῖτο στυγερὸν γάμον οὔτε τελεύτα,
ἡμῖν φραζομένη θάνατον καὶ κῆρα μέλαιναν,
ἀλλὰ δόλον τόνδ' ἄλλον ἐνὶ φρεσὶ μερμήριξεν.
στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινεν,
130 λεπτὸν καὶ περίμετρον· ἄφαρ δ' ἡμῖν μετέειπεν
„κοῦροι ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος
ἐκτελέσω, μή μοι μεταμώνια νήματ' ὄληται,
Λαέρτῃ ἥρωι ταφήιον, εἰς ὅτε κέν μιν
135 μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο,

116. σὺν ἀντιθέῳ Μενελάῳ gehört zu ὀτρυνέων als Theil des Subjectes, mittelbar also auch zu κατήλυθον; daher folgt der Plural περήσαμεν und besonders παρπεπιθόντες in Beziehung auf die beiden Atriden.

118. μηνὶ δ' ἄρ' οὔλῳ κτέ. Hierdurch soll das bei Amphimedon vorausgesetzte Verlangen befriedigt werden, zu wissen, wie es dem Agamemnon auf jener Fahrt weiter ergangen sei.

119. παρπεπιθόντες. Spätere schreiben diese Ueberredung des Odysseus dem bei Homer nicht vorkommenden Palamedes zu.

124. ἡμετέρου — τέλος bildet parataktische Apposition zum vorangehenden πάντα, statt syntaktisch davon abhängig zu sein.

125. μνώμεθα, d. i. ἐμνώμεθα (damals, in jener Zeit, die unsern Tod herbeiführte).

128—146. ἀλλὰ δόλον — ὑπ' ἀνάγκης = β, 93—110, nur dass es dort im Anfange heisst ἡ δὲ δόλον κτέ. vgl. τ, 139—156, wo auch unser im zweiten Buch nicht vorkommender Vers 143 μηνῶν — ἐτελέσθη sich findet; vgl. das dort zu 153 Bemerkte.

μή τίς μοι κατὰ δῆμον Ἀχαιιάδων νεμεσήσῃ,
αἴ κεν ἄτερ σπείρου κῆται πολλὰ κτεατίσσας.'
ὣς ἔφαθ', ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστόν,
νύκτας δ' ἀλλύεσκεν, ἐπεὶ δαΐδας παραθεῖτο.
ὣς τρίετες μὲν ἔληθε δόλῳ καὶ ἔπειθεν Ἀχαιούς·
ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι,
[μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,]
καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ᾔδη,
καὶ τήν γ' ἀλλύουσαν ἐφεύρομεν ἀγλαὸν ἱστόν.
ὣς τὸ μὲν ἐξετέλεσσε καὶ οὐκ ἐθέλουσ', ὑπ' ἀνάγκης.
εὖθ' ἡ φᾶρος ἔδειξεν, ὑφήνασα μέγαν ἱστόν,
πλύνασ', ἠελίῳ ἐναλίγκιον ἠὲ σελήνῃ,
καὶ τότε δή ῥ' Ὀδυσῆα κακός ποθεν ἤγαγε δαίμων
ἀγροῦ ἐπ' ἐσχατιήν, ὅθι δώματα ναῖε συβώτης.
ἔνθ' ἦλθεν φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
ἐκ Πύλου ἠμαθόεντος ἰὼν σὺν νηὶ μελαίνῃ·
τὼ δὲ μνηστῆρσιν θάνατον κακὸν ἀρτύναντες
ἵκοντο προτὶ ἄστυ περικλυτόν, ἤτοι Ὀδυσσεύς
ὕστερος, αὐτὰρ Τηλέμαχος πρόσθ' ἡγεμόνευεν.
τὸν δὲ συβώτης ἦγε κακὰ χροῖ εἵματ' ἔχοντα,
πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι
[σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροῖ εἵματα ἕστο]·
οὐδέ τις ἡμείων δύνατο γνῶναι τὸν ἐόντα
ἐξαπίνης προφανέντ', οὐδ' οἳ προγενέστεροι ἦσαν,
ἀλλ' ἔπεσίν τε κακοῖσιν ἐνίσσομεν ἠδὲ βολῇσιν.
αὐτὰρ ὁ τέως μὲν ἐτόλμα ἐνὶ μεγάροισιν ἑοῖσιν

147—149. εὖθ' ἡ φᾶρος — καὶ τότε δή. Eine den wirklichen Hergang der Sache durch Uebertreibung ziemlich entstellende Darstellung; denn so unmittelbar folgte die Heimkunft des Odysseus nicht auf die entdeckte List der Penelope.

150. ἀγροῦ — ναῖε = δ, 517, wo aber Θυέστης als Subject folgt.

153. τὼ δέ, d. i. Odysseus und Telemach, die schon bei Eumäos eine Verabredung mit einander getroffen hatten.

156. τὸν δέ, d. i. den Odysseus, als die erstgenannte Hauptperson.

157. πτωχῷ — γέροντι = π, 273. ρ, 337, aus welcher letztern Stelle auch unser Vers 158 mit geflossen ist; dass aber dieser nach 156 (κ. χροῖ εἵματ' ἔχοντα) nicht stehen kann, springt in die Augen.

162. ἐνὶ μεγάροισιν ἑοῖσιν ist

24 βαλλόμενος καὶ ἐνισσόμενος τετληότι θυμῷ·
ἀλλ' ὅτε δή μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο,
165 σὺν μὲν Τηλεμάχῳ περικαλλέα τεύχε' ἀείρας
ἐς θάλαμον κατέθηκε καὶ ἐκλήισεν ὀχῆας,
αὐτὰρ ὁ ἣν ἄλοχον πολυκερδείῃσιν ἄνωγεν
τόξον μνηστήρεσσι θέμεν πολιόν τε σίδηρον,
ἡμῖν αἰνομόροισιν ἀέθλια καὶ φόνου ἀρχήν.
170 οὐδέ τις ἡμείων δύνατο κρατεροῖο βιοῖο
νευρὴν ἐντανύσαι, πολλὸν δ' ἐπιδευέες ἦμεν.
ἀλλ' ὅτε χεῖρας ἵκανεν Ὀδυσσῆος μέγα τόξον,
ἔνθ' ἡμεῖς μὲν πάντες ὁμοκλέομεν ἐπέεσσιν
τόξον μὴ δόμεναι, μηδ' εἰ μάλα πόλλ' ἀγορεύοι,
175 Τηλέμαχος δέ μιν οἶος ἐποτρύνων ἐκέλευσεν.
αὐτὰρ ὁ δέξατο χειρὶ πολύτλας δῖος Ὀδυσσεύς,
ῥηιδίως δ' ἐτάνυσσε βιόν, διὰ δ' ἧκε σιδήρου,
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰών, ταχέας δ' ἐκχεύατ' ὀιστούς
δεινὸν παπταίνων, βάλε δ' Ἀντίνοον βασιλῆα.
180 αὐτὰρ ἔπειτ' ἄλλοις ἐφίει βέλεα στονόεντα
ἄντα τιτυσκόμενος· τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον.
γνωτὸν δ' ἦν ὅ ῥά τίς σφι θεῶν ἐπιτάρροθος ἦεν·
αὐτίκα γὰρ κατὰ δώματ' ἐπισπόμενοι μένεϊ σφῷ

mit βαλλόμενος καὶ ἐνισσόμενος zu verbinden, τετληότι θυμῷ mit ἐτόλμα.

167. ἣν ἄλοχον — ἄνωγεν. Dies stimmt zwar mit dem geschichtlichen Gang der Sache nach Buch φ (vgl. τ, 572—584) nicht überein, ist aber doch eine sehr natürliche und beinahe unabweisbare Vermuthung für einen der Freier.

169. ἀέθλια καὶ φόνου ἀρχήν = φ, 4, wo auch der vorige Vers ganz unverändert vorangeht.

171. νευρὴν ἐντανύσαι, vgl. zu τ, 587, und zum ganzen Vers φ, 185.

175. Τηλέμαχος — οἶος stimmt nicht ganz mit φ, 311—319 u. 330—342 zusammen, wo auch Penelope, freilich ohne entscheidenden Erfolg (s. ebendas. 362—379), sich bemüht, den Bogen in die Hand des Odysseus zu bringen.

177. ῥηιδίως — σιδήρου = φ, 328.

178. ἐπ' οὐδὸν κτέ., vgl. φ, 124. χ, 2fg.

181. τιτυσκόμενος — ἔπιπτον = χ, 118.

182. ὅ (ὅτι) ῥά τίς σφι κτέ. Plötzlich, nachdem bisher immer von Odysseus allein die Rede war, treten dem Dichter auch die Gehülfen seines Kampfes vor die Seele, daher σφί, ἐπισπόμενοι, σφῷ, κτεῖνον. Zu ἐπιτάρροθος vgl. Iliad. δ, 390 τοίη οἱ ἐπίρροθος ἦεν Ἀθήνη.

κτεῖνον ἐπιστροφάδην, τῶν δὲ στόνος ὤρνυτ' ἀεικής 24
κράτων τυπτομένων, δάπεδον δ' ἅπαν αἵματι θῦεν. 185
ὣς ἡμεῖς, Ἀγάμεμνον, ἀπωλόμεθ', ὧν ἔτι καὶ νῦν
σώματ' ἀκηδέα κεῖται ἐνὶ μεγάροις Ὀδυσῆος·
οὐ γάρ πω ἴσασι φίλοι κατὰ δώμαθ' ἑκάστου,
οἵ κ', ἀπονίψαντες μέλανα βρότον ἐξ ὠτειλέων
κατθέμενοι γοάοιεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων." 190
τὸν δ' αὖτε ψυχὴ προσεφώνεεν Ἀτρείδαο
„ὄλβιε Λαέρταο πάι, πολυμήχαν' Ὀδυσσεῦ,
ἦ ἄρα σὺν μεγάλῃ ἀρετῇ ἐκτήσω ἄκοιτιν.
ὡς ἀγαθαὶ φρένες ἦσαν ἀμύμονι Πηνελοπείῃ,
κούρῃ Ἰκαρίου· ὡς εὖ μέμνητ' Ὀδυσῆος, 195
ἀνδρὸς κουριδίου. τῷ οἱ κλέος οὔ ποτ' ὀλεῖται
ἧς ἀρετῆς, τεύξουσι δ' ἐπιχθονίοισιν ἀοιδήν
ἀθάνατοι χαρίεσσαν ἐχέφρονι Πηνελοπείῃ,
οὐχ ὡς Τυνδαρέου κούρη κακὰ μήσατο ἔργα,
κουρίδιον κτείνασα πόσιν, στυγερὴ δέ τ' ἀοιδή 200
ἔσσετ' ἐπ' ἀνθρώπους, χαλεπὴν δέ τε φῆμιν ὄπασσεν
θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ' εὐεργὸς ἔῃσιν."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,

184fg. κτεῖνον — θῦεν = χ, 308 fg. τύπτον ἐπιστροφάδην κτέ.

187. σώματ' ἀκηδέα κεῖται. Dennoch konnten sie in die Unterwelt kommen, wie Elpenor λ, 51—54.

190. κατθέμενοι, nachdem sie uns hingelegt auf ein Bett oder einen Pfühl, um uns dann nebenan sitzend zu beklagen. Vgl. unten 295 κώκυσ' ἐν λεχέεσσιν. Iliad. σ, 352 ἐν λεχέεσσι θέντες, worauf dann erst 355 folgt ἀνεστενάχοντο γοῶντες, und ebendas. τ, 212 (ἐνὶ κλισίῃ) κεῖται — ἀμφὶ δ' ἑταῖροι μύρονται. — ὃ γάρ, d. i. τὸ γάρ, τοῦτο γάρ, wie Iliad. ψ, 9 vgl. mit unten 296.

193. σὺν μεγάλῃ ἀρετῇ gehört zu ἄκοιτιν, uxorem magna virtute praeditam, im Besitz grosser Tugend.

194. ἀγαθαὶ φρένες geht vorherrschend auf die sittliche Gesinnung, vgl. zu γ, 266 φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσιν.

197. ἐπιχθονίοισιν — Πηνελοπείῃ. Jeder dieser Dative hat seine besondere Beziehung: der erstere — gleichsam ein Dat. commodi — hängt von τεύξουσι ab und ist ungefähr parallel mit 201 ἐπ' ἀνθρώπους; der andere ἐχ. Πηνελοπείῃ ist mit ἀοιδὴν zu verbinden = Gesang über die verständige Penelope, ihr zu Ehren.

199. οὐχ ὡς, vgl. zu φ, 427 οὐχ ὥς με μνηστῆρες — ὄνονται.

200fg. ἀοιδὴ ἔσσεται, erg. αὐτῇ, περὶ αὐτῆς.

202. θηλυτέρῃσι — ἔῃσιν = λ, 434 (ο, 422).

203. οἱ μέν, d. i. τὼ μέν, Agamemnon und Amphimedon, daher

ἑσταότ᾽ εἰν Ἀίδαο δόμοις, ὑπὸ κεύθεσι γαίης·
οἱ δ᾽ ἐπεὶ ἐκ πόλιος κατέβαν, τάχα δ᾽ ἀγρὸν ἵκοντο
καλὸν Λαέρταο τετυγμένον, ὅν ῥά ποτ᾽ αὐτός
Λαέρτης κτεάτισσεν, ἐπεὶ μάλα πόλλ᾽ ἐμόγησεν.
ἔνθα οἱ οἶκος ἔην, περὶ δὲ κλίσιον θέε πάντῃ,
ἐν τῷ σιτέσκοντο καὶ ἵζανον ἠδὲ ἴαυον
δμῶες ἀναγκαῖοι, τοί οἱ φίλα ἐργάζοντο.
ἐν δὲ γυνὴ Σικελὴ γρηῢς πέλεν, ἥ ῥα γέροντα
ἐνδυκέως κομέεσκεν ἐπ᾽ ἀγροῦ, νόσφι πόληος.
ἔνθ᾽ Ὀδυσεὺς δμώεσσι καὶ υἱέι μῦθον ἔειπεν·
„ὑμεῖς μὲν νῦν ἔλθετ᾽ ἐυκτίμενον δόμον εἴσω,
δεῖπνον δ᾽ αἶψα συῶν ἱερεύσατε ὅς τις ἄριστος·
αὐτὰρ ἐγὼ πατρὸς πειρήσομαι ἡμετέροιο,
αἴ κέ μ᾽ ἐπιγνώῃ καὶ φράσσεται ὀφθαλμοῖσιν,
ἦέ κεν ἀγνοιῇσι πολὺν χρόνον ἀμφὶς ἐόντα.“
ὣς εἰπὼν δμώεσσιν ἀρήια τεύχε᾽ ἔδωκεν.

nachher der Dual ἑσταότε.

205. οἱ δ᾽ ἐπεὶ — κατέβαν. Die Erzählung kehrt zu Odysseus und seinen Begleitern zurück, die wir am Ende des vorigen Buches verlassen haben, vgl. ψ, 359fg. 366—372.

206. τετυγμένον, das wohlgearbeitete, parallel mit καλόν, vgl. 226 ἐυκτιμένῃ ἐν ἀλωῇ.

207. κτεάτισσεν, vgl. β, 102 πολλὰ κτεατίσσας. Iliad. π, 57 δουρὶ δ᾽ ἐμῷ κτεάτισσα. Vielleicht war es ein γέρας, τέμενος, das er sich durch eine ausgezeichnete Kriegsthat vom Volke erworben hatte.

208. κλίσιον, eine Art Collectivum von κλισίη, also: eine Reihe von Hütten, die an das höhere und grössere Haupthaus (den οἶκος Λαέρτου) rings angebaut waren, ein Anbau, worin (ἐν τῷ 209) die Sclaven schliefen und wohnten.

210. δμῶες ἀναγκαῖοι. Das Adjectiv scheint den eigentlichen Stand, das bleibende Verhältniss dieser Knechte zu bezeichnen, als Gegensatz von θῆτες, ἔριθοι u. dgl.: leibeigene Knechte. — φίλα, was ihm lieb war, beliebte, was er jedes Mal wünschte.

211. ἐν — πέλεν, vgl. β, 345 ἐν δὲ γυνὴ ταμίη νύκτας τε καὶ ἦμαρ ἔσκε (ἔσκε). Ueber γυνὴ Σικελὴ vgl. zu α, 191 und Einleit. S. 42. — γέροντα, den Laertes.

215. δεῖπνον ist Prädicat zu dem Object συῶν (τοῦτον) ὅς τις ἄριστος.

216. πατρ. πειρήσομαι. Es gehört zur eigenthümlichen Art des Odysseus, dass er sich nie dem Gefühl sofort hingiebt; auch hier will er seine Herrschaft darüber zeigen und unerkannt sich in freiem Spiele ergötzen.

217. ἐπιγνώῃ, aufgelöster Conjunctiv wie Iliad. ω, 688 γνώῃ — γνώωσι. Zu ἀγνοιῇσι im folgenden Verse vgl. υ, 15 ἀγνοιήσασα.

219. ἀρήια τεύχεα, er gab ihnen seine Waffen, um sie ins Haus zu tragen, während er selbst in den Garten ging, vgl. ψ, 366—369.

οἱ μὲν ἔπειτα δόμονδε θοῶς κίον, αὐτὰρ Ὀδυσσεὺς 24
ἆσσον ἴεν πολυκάρπου ἀλωῆς πειρητίζων. 221
οὐδ᾽ εὗρεν Δολίον, μέγαν ὄρχατον ἐσκαταβαίνων,
οὐδέ τινα δμώων οὐδ᾽ υἱῶν· ἀλλ᾽ ἄρα τοί γε
αἱμασιὰς λέξοντες ἀλωῆς ἔμμεναι ἕρκος
ᾤχοντ᾽, αὐτὰρ ὁ τοῖσι γέρων ὁδὸν ἡγεμόνευεν. 225
τὸν δ᾽ οἶον πατέρ᾽ εὗρεν ἐυκτιμένῃ ἐν ἀλωῇ,
λιστρεύοντα φυτόν· ῥυπόωντα δὲ ἕστο χιτῶνα
ῥαπτὸν ἀειπέλιον, περὶ δὲ κνήμῃσι βοείας
κνημῖδας ῥαπτὰς δέδετο, γραπτῦς ἀλεείνων,
χειρῖδάς τ᾽ ἐπὶ χερσὶ βάτων ἕνεκ᾽· αὐτὰρ ὕπερθεν 230
αἰγείην κυνέην κεφαλῇ ἔχε, πένθος ἀέξων.
τὸν δ᾽ ὡς οὖν ἐνόησε πολύτλας δῖος Ὀδυσσεὺς
γήραϊ τειρόμενον, μέγα δὲ φρεσὶ πένθος ἔχοντα,
στὰς ἄρ᾽ ὑπὸ βλωθρὴν ὄγχνην κατὰ δάκρυον εἶβεν.
μερμήριξε δ᾽ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμόν 235
κύσσαι καὶ περιφῦναι ἑὸν πατέρ᾽, ἠδὲ ἕκαστα
εἰπεῖν, ὡς ἔλθοι καὶ ἵκοιτ᾽ ἐς πατρίδα γαῖαν,
ἦ πρῶτ᾽ ἐξερέοιτο ἕκαστά τε πειρήσαιτο.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
πρῶτον κερτομίοις ἐπέεσσιν πειρηθῆναι. 240
τὰ φρονέων ἰθὺς κίεν αὐτοῦ δῖος Ὀδυσσεύς.

221. *πειρητίζων*, um zu versuchen, nämlich wen er antreffe und ob ihn dieser erkenne. Zunächst scheint er den Dolios dort erwartet zu haben.

222. *ὄρχατον*, vgl. zu *η*, 112.

223. *δμώων οὐδ᾽ υἱῶν*. Nach dieser Stelle gab es ausser den Söhnen des Dolios noch andere Sclaven hier, die jedoch sonst nirgends erwähnt werden.

225. *γέρων*, *Δολίος*.

227. *φυτόν*, collectiv, Gewächse, z. B. Baumsetzlinge, deren Umgrabung gerade in die herbstliche Jahreszeit passt.

231. *αἰγείην κυνέην*, eine Kappe von Ziegenfell. Vgl. Hesiod. Opp. 545 fg. *κεφαλῆφι δ᾽ ὕπερθεν πῖλον ἔχειν ἀσκητόν, ἵν᾽ οὔατα μὴ καταδεύῃ*. — *πένθος ἀέξων*, vgl. 233 *μέγα φρεσὶ πένθος ἔχοντα*. *ρ*, 489 *μέγα πένθος ἄεξεν*.

235—238. *μερμήριξε — κύσσαι — ἦ — ἐξερέοιτο*, Vermischung zweier Constructionen; das Gewöhnliche wäre *μερμήριξε — ἢ κύσαι καὶ περιφύῃ — ἠδὲ — εἴποι κτέ*.

240. *κερτομίοις ἐπέεσσιν*, hier in milderm Sinne als gewöhnlich: neckend, neckisch (ohne den Nebenbegriff von Hohn oder Böswilligkeit).

ἤτοι ὁ μὲν κατέχων κεφαλὴν φυτὸν ἀμφελάχαινεν·
τὸν δὲ παριστάμενος προσεφώνεε φαίδιμος υἱός
„ὦ γέρον, οὐκ ἀδαημονίη σ' ἔχει ἀμφιπολεύειν
ὄρχατον, ἀλλ' εὖ τοι κομιδὴ ἔχει, οὐδέ τι πάμπαν
οὐ φυτόν, οὐ συκῆ, οὐκ ἄμπελος, οὐ μὲν ἐλαίη,
οὐκ ὄγχνη, οὐ πρασιή τοι ἄνευ κομιδῆς κατὰ κῆπον.
ἄλλο δέ τοι ἐρέω, σὺ δὲ μὴ χόλον ἔνθεο θυμῷ·
αὐτόν σ' οὐκ ἀγαθὴ κομιδὴ ἔχει, ἀλλ' ἅμα γῆρας
λυγρὸν ἔχεις αὐχμεῖς τε κακῶς καὶ ἀεικέα ἕσσαι.
οὐ μὲν ἀεργίης γε ἄναξ ἕνεκ' οὔ σε κομίζει,
οὐδέ τί τοι δούλειον ἐπιπρέπει εἰσοράασθαι
εἶδος καὶ μέγεθος· βασιλῆι γὰρ ἀνδρὶ ἔοικας.
τοιούτῳ δὲ ἔοικας, ἐπεὶ λούσαιτο φάγοι τε,
εὐδέμεναι μαλακῶς· ἡ γὰρ δίκη ἐστὶ γερόντων.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
τεῦ δμῶς εἶς ἀνδρῶν; τεῦ δ' ὄρχατον ἀμφιπολεύεις;
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
εἰ ἐτεόν γ' Ἰθάκην τήνδ' ἱκόμεθ', ὥς μοι ἔειπεν
οὗτος ἀνὴρ νῦν δὴ ξυμβλήμενος ἐνθάδ' ἰόντι,

242. *κατέχων*, hier in der eigentlichsten Bedeutung: niederhaltend, zur Erde senkend, demittens; er war bei der Arbeit und in Gedanken vertieft.

244. *ἀδαημονίη*, Unkunde, Ungeschick (das Ungeschicktsein an einem bestimmten Subjecte gedacht). *οὐκ ἀδ. σ' ἔχει*, nicht fehlt es dir an Geschick.

246. *φυτόν*, das Allgemeine aller nachher aufgezählten einzelnen Arten; doch können auch noch andere Sträuche darunter verstanden sein.

247. *πρασιή*, vgl. zu *η*, 127.

248. *μὴ χόλον ἔνθεο*, vgl. *π*, 301 *μή τις ἔπειτ' Ὀδυσῆος ἀκουσάτω*.

250. *αὐχμεῖν*, squalere, hirsutum esse, horrere.

251. *οὔ σε κομίζει*. Die Negation bildet mit dem Verbum Einen Begriff, also = *ἀκόμιστόν σε ἐᾷ*, er versäumt deine Pflege, lässt dich ungepflegt.

252 fg. *τοι — ἐπιπρέπει*, es tritt, sticht an dir hervor, fällt in die Augen. — *εἶδος καὶ μέγεθος* ist Accusativ der Beziehung, wie unten 374. Vgl. die Umschreibung bei Theocrit. Idyll. 25, 38—40: *ἐπεὶ οὐ σέ γέ φημι κακῶν ἐξ ἔμμεναι οὐδὲ κακοῖσιν ἐοικότα φύμεναι αὐτόν, οἷόν τοι μέγα εἶδος ἐπιπρέπει*.

254 fg. *τοιούτῳ — εὐδέμεναι*. Der Infinitiv hängt von *τοιούτῳ* ab, wie wenn es hiesse *ἔοικας δὲ τοιούτῳ οἵῳ — εὐδέμεναι*, du gleichst einem, dessen Art es ist, wann er sich bei der Tafel gütlich gethan, auch behaglichen Schlaf sich zu gönnen. Betreffend die Construction vgl. zu *β*, 60 *ἡμεῖς δ' οὔ νύ τι τοῖοι ἀμυνέμεν*.

259. *Ἰθάκην τήνδ' ἱκόμεθα*.

οὔ τι μάλ' ἀρτίφρων, ἐπεὶ οὐ τόλμησεν ἕκαστα 24
εἰπεῖν ἠδ' ἐπακοῦσαι ἐμὸν ἔπος, ὡς ἐρέεινον
ἀμφὶ ξείνῳ ἐμῷ, ἤ που ζώει τε καὶ ἔστιν
ἦ ἤδη τέθνηκε καὶ εἰν Ἀίδαο δόμοισιν.
ἐκ γάρ τοι ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον· 265
ἄνδρα ποτ' ἐξείνισσα φίλῃ ἐνὶ πατρίδι γαίῃ
ἡμέτερόνδ' ἐλθόντα, καὶ οὔ πώ τις βροτὸς ἄλλος
ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα·
εὔχετο δ' ἐξ Ἰθάκης γένος ἔμμεναι, αὐτὰρ ἔφασκεν
Λαέρτην Ἀρκεισιάδην πατέρ' ἔμμεναι αὐτῷ. 270
τὸν μὲν ἐγὼ πρὸς δώματ' ἄγων εὖ ἐξείνισσα,
ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων,
καί οἱ δῶρα πόρον ξεινήια, οἷα ἐῴκει.
χρυσοῦ μέν οἱ δῶκ' εὐεργέος ἑπτὰ τάλαντα,
δῶκα δέ οἱ κρητῆρα πανάργυρον ἀνθεμόεντα, 275
δώδεκα δ' ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας,
τόσσα δὲ φάρεα καλά, τόσους δ' ἐπὶ τοῖσι χιτῶνας,
χωρὶς δ' αὖτε γυναῖκας ἀμύμονα ἔργα ἰδυίας,
τέσσαρας εἰδαλίμας, ἃς ἤθελεν αὐτὸς ἑλέσθαι."
τὸν δ' ἠμείβετ' ἔπειτα πατὴρ κατὰ δάκρυον εἴβων 280
„ξεῖν', ἤτοι μὲν γαῖαν ἱκάνεις ἣν ἐρεείνεις,
ὑβρισταὶ δ' αὐτὴν καὶ ἀτάσθαλοι ἄνδρες ἔχουσιν.

Vgl. zu ε, 173 ἄλλο τι δὴ σύ, θεά, τόδε μήδεαι.

261. ἀρτίφρων, (vgl. zu τ, 248) verständig, also auch billig gegen Andere gesinnt, menschenfreundlich, theilnehmend, gefällig. — οὐ τόλμησεν, er bracht' es nicht über sich (war zu stolz oder zu gleichgültig).

262. ἐπακ. ἐμὸν ἔπος ist nur wegen des Gegensatzes mit εἰπεῖν beigefügt, als ob es hiesse εἰπεῖν, ἐπακούσαντα ἐμὸν ἔπος. Das Object zu εἰπεῖν ist im folgenden Satz ὡς ἐρέεινον — — δόμοισιν implicite enthalten: mir zu sagen, wornach ich fragte, also: meine Frage zu beantworten.

263. ζώει τε καὶ ἔστιν, synonym wie leben und da sein.

268. ξείνων — δῶμα = τ, 351.

269. γένος ἔμμεναι, vgl. zu ξ, 199.

273. ξεινήια ist hier Adjectiv zu δῶρα, kommt aber sonst in dieser Eigenschaft nicht vor. Aehnlich 276 ἁπλοΐδας χλαίνας.

274. χρυσοῦ — τάλαντα, vgl. ι, 202.

279. εἰδάλιμος = εὐειδής, formosus, nach Analogie von κυδάλιμος gebildet. — ἃς ἤθελεν αὐτὸς ἑλ., die er selbst nach seinem Gefallen auswählte, indem ihm die Wahl gelassen wurde. Anders ι, 334 τοὺς ἄν κε καὶ ἤθελον αὐτὸς ἑλέσθαι.

24 δῶρα δ᾽ ἐτώσια ταῦτα χαρίζεο, μυρί᾽ ὀπάζων·
εἰ γάρ μιν ζωόν γ᾽ ἐκίχεις Ἰθάκης ἐνὶ δήμῳ,
285 τῷ κέν σ᾽ εὖ διόροισιν ἀμειψάμενος ἀπέπεμψεν
καὶ ξενίῃ ἀγαθῇ· ἡ γὰρ θέμις, ὅς τις ὑπάρξῃ.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
πόστον δὴ ἔτος ἐστίν, ὅτε ξείνισσας ἐκεῖνον
σὸν ξεῖνον δύστηνον, ἐμὸν παῖδ᾽, εἴ ποτ᾽ ἔην γε,
290 δύσμορον; ὅν που τῆλε φίλων καὶ πατρίδος αἴης
ἠέ που ἐν πόντῳ φάγον ἰχθύες, ἢ ἐπὶ χέρσου
θηρσὶ καὶ οἰωνοῖσιν ἕλωρ γένετ᾽. οὐδέ ἑ μήτηρ
κλαῦσε περιστείλασα πατήρ θ᾽, οἵ μιν τεκόμεσθα·
οὐδ᾽ ἄλοχος πολύδωρος, ἐχέφρων Πηνελόπεια,
295 κώκυσ᾽ ἐν λεχέεσσιν ἑὸν πόσιν, ὡς ἐπεῴκει,
ὀφθαλμοὺς καθελοῦσα· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
καί μοι τοῦτ᾽ ἀγόρευσον ἐτήτυμον, ὄφρ᾽ εὖ εἰδῶ·
τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
ποῦ δὲ νηῦς ἔστηκε θοή, ἥ σ᾽ ἤγαγε δεῦρο
300 ἀντιθέους θ᾽ ἑτάρους; ἦ ἔμπορος εἰλήλουθας
νηὸς ἐπ᾽ ἀλλοτρίης, οἱ δ᾽ ἐκβήσαντες ἔβησαν;"
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς
„τοιγὰρ ἐγώ τοι πάντα μάλ᾽ ἀτρεκέως καταλέξω.

283. ἐτώσια ist Prädicat, mit χαρίζεο zu verbinden.

284 fg. εἰ γάρ μιν — γε — τῷ μεν, vgl. zu γ, 256 εἰ ζωόν γ᾽ Αἴγισθον κτέ.

286. ξενίῃ, als Substantiv nur hier und 314. — ἡ γὰρ θέμις ὅς τις ὑπάρξῃ, denn also gebührt es sich gegen den, der angefangen, d. i. uns zuerst aufgenommen hat. Damit ist nicht gesagt, dass man nur gegen den gastfreundlich sein solle, der einen zuerst aufgenommen, wohl aber, dass dieser jedenfalls ein Recht habe, Erwiederung zu erwarten, und also der Aufgenommene die Pflicht, sie zu leisten.

289. εἴ ποτ᾽ ἔην γε gehört zu ἐμὸν παῖδα, vgl. zu ο, 268.

290 fg. ὅν που — ἠέ που. Das erste ποὺ drückt die Vermuthung aus, das zweite ist local.

294. ἄλοχος πολύδωρος, wie Iliad. ζ, 394 Andromache, vgl. zu α, 277. Daher auch ξ, 211 ἠγαγόμην δὲ γυναῖκα πολυκλήρων ἀνθρώπων.

299. ποῦ δὲ νηῦς. Das kurze δὲ wird selbst in der Thesis verlängert durch die folgende Liquida ν, wie Iliad. ε, 358 πολλὰ λισσομένη, vgl. Apoll. Rhod. α, 267 οἱ δὲ σῖγα.

300. ἀντιθέους ἑτάρους. Diese werden nur vermuthungsweise vorausgesetzt, wie das Gleichfolgende zeigt. Ueber ἔμπορος vgl. zu β, 319.

301. οἱ δέ, d. i. οἱ ναῦται, die dem Begriffe nach in νηὸς ἀλλοτρίης enthalten sind.

εἰμὶ μὲν ἐξ Ἀλύβαντος, ὅθι κλυτὰ δώματα ναίω, 24
υἱὸς Ἀφείδαντος Πολυπημονίδαο ἄνακτος· 305
αὐτὰρ ἔμοιγ' ὄνομ' ἐστὶν Ἐπήριτος. ἀλλά με δαίμων
πλάγξ' ἀπὸ Σικανίης δεῦρ' ἐλθέμεν οὐκ ἐθέλοντα.
νηῦς δέ μοι ἥδ' ἕστηκεν ἐπ' ἀγροῦ νόσφι πόληος.
αὐτὰρ Ὀδυσσῆι τόδε δὴ πέμπτον ἔτος ἐστίν,
ἐξ οὗ κεῖθεν ἔβη καὶ ἐμῆς ἀπελήλυθε πάτρης, 310
δύσμορος. ἦ τέ οἱ ἐσθλοὶ ἔσαν ὄρνιθες ἰόντι,
δεξιοί, οἷς χαίρων μὲν ἐγὼν ἀπέπεμπον ἐκεῖνον,
χαῖρε δὲ κεῖνος ἰών· θυμὸς δ' ἔτι νῶιν ἐώλπει
μίξεσθαι ξενίῃ ἠδ' ἀγλαὰ δῶρα διδώσειν."
ὣς φάτο, τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα· 315
ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
χεύατο κὰκ κεφαλῆς πολιῆς, ἀδινὰ στεναχίζων.
τοῦ δ' ὠρίνετο θυμός, ἀνὰ ῥῖνας δέ οἱ ἤδη
δριμὺ μένος προύτυψε φίλον πατέρ' εἰσορόωντι.
κύσσε δέ μιν περιφὺς ἐπιάλμενος, ἠδὲ προσηύδα 320
„κεῖνος μέν τοι ὅδ' αὐτὸς ἐγώ, πάτερ, ὃν σὺ μεταλλᾷς,

304. Ἀλύβας, wahrscheinlich, so gut als die folgenden Personennamen, ein erdichteter Name, mit Anspielung auf ἄλη, ἀλᾶσθαι, ἀλύω wegen der vielen Irrfahrten des Odysseus. Nach dem Zusammenhang der Erzählung aber scheint der Dichter diesen Ort auf oder nahe bei Σικανίη (307) zu setzen, worunter vielleicht der an Sicilien angrenzende Theil Italiens mitverstanden ist.

305. Ἀφείδας, wahrscheinlich von ἀφειδής, nicht sparend (schonend) und nicht gespart (geschont), d. h. allen Anfeindungen des Schicksals blossgestellt. Daher heisst der Vater Πολυπήμων, Leidenreich. Beide Namen mögen auf des Odysseus Epitheton πολύτλας hinweisen.

306. Ἐπήριτος (ἐπήριστος), der Bestrittene, Angefeindete, vielen Anfechtungen Ausgesetzte, vgl. Ὀδυσσεύς im passiven Sinn.

308. νηῦς — πόληος = α, 185.

312. δεξιοί, die Erklärung von ἐσθλοί.

313. χαῖρε δὲ — ἰών, veränderte Construction statt: χαίρων δὲ κεῖνος ἤιε.

314. διδώσειν, vgl. zu ν, 358 διδώσομεν.

316 fg. ἀμφοτέρῃσι δὲ κτέ., ähnlich wie Priamos Iliad. ω, 165 (κόπρος) τήν ῥα κυλινδόμενος καταμήσατο χερσὶν ἑῇσιν.

318 fg. ἀνὰ ῥῖνας — προύτυψε, durch die Nüstern drang, eigentlich: schlug ihm bereits das bittere oder scharfe Verlangen, der stechende Drang. Es ist der Drang des Weinens gemeint, dessen scharfstechende und gleichsam beissende Empfindung zuerst in die Nase (Nasenspitze) zu dringen pflegt.

321 fg. κεῖνος — ἤλυθον, vgl. π, 205 fg. Zu κεῖνος — ἐγὼ ergänze auch hier ὤν, wie 328 zu Ὀδυσεύς γε ἐμὸς παῖς.

24 ἠλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
ἀλλ᾽ ἴσχεο κλαυθμοῖο γόοιό τε δακρυόεντος.
ἐκ γάρ τοι ἐρέω· μάλα δὲ χρὴ σπευδέμεν ἔμπης·
325 μνηστῆρας κατέπεφνον ἐν ἡμετέροισι δόμοισιν,
λώβην τινύμενος θυμαλγέα καὶ κακὰ ἔργα."
τὸν δ᾽ αὖ Λαέρτης ἀπαμείβετο φώνησέν τε
„εἰ μὲν δὴ Ὀδυσεύς γε ἐμὸς παῖς ἐνθάδ᾽ ἱκάνεις,
σῆμά τί μοι νῦν εἰπὲ ἀριφραδές, ὄφρα πεποίθω."
330 τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς
„οὐλὴν μὲν πρῶτον τήνδε φράσαι ὀφθαλμοῖσιν,
τὴν ἐν Παρνησῷ μ᾽ ἔλασεν σῦς λευκῷ ὀδόντι
οἰχόμενον· σὺ δέ με προΐεις καὶ πότνια μήτηρ
ἐς πατέρ᾽ Αὐτόλυκον μητρὸς φίλον, ὄφρ᾽ ἂν ἕλοίμην
335 δῶρα, τὰ δεῦρο μολών μοι ὑπέσχετο καὶ κατένευσεν.
εἰ δ᾽ ἄγε τοι καὶ δένδρε᾽ ἐυκτιμένην κατ᾽ ἀλωήν
εἴπω, ἅ μοί ποτ᾽ ἔδωκας, ἐγὼ δ᾽ ἤτεόν σε ἕκαστα
παιδνὸς ἐών, κατὰ κῆπον ἐπισπόμενος· διὰ δ᾽ αὐτῶν
ἱκνεύμεσθα, σὺ δ᾽ ὠνόμασας καὶ ἔειπες ἕκαστα.
340 ὄγχνας μοι δῶκας τρισκαίδεκα καὶ δέκα μηλέας,
συκέας τεσσαράκοντ᾽· ὄρχους δέ μοι ὧδ᾽ ὀνόμηνας
δώσειν πεντήκοντα, διατρύγιος δὲ ἕκαστος
ἦην· ἔνθα δ᾽ ἀνὰ σταφυλαὶ παντοῖαι ἔασιν,
ὁππότε δὴ Διὸς ὧραι ἐπιβρίσειαν ὕπερθεν."

324. *μάλα — ἔμπης*, d. h. ich muss mich der grössten Kürze befleissigen. Ueber *ἔμπης* (durchaus) vgl. zu σ, 354.

333. *οἰχόμενον*, als ich dahin gegangen war; die Veranlassung des Hingehens geben die folgenden Worte an. Vgl. τ, 393—466.

336. *εἰ δ᾽ ἄγε* macht den Gegensatz zu *μὲν πρῶτον* 331.

341. *ὀνόμηνας*, du nanntest, bezeichnetest einzeln und gleichsam mit Namen, nämlich als solche, die du mir schenken wolltest.

342. *ὄρχος διατρύγιος*, d. i. *διὰ μέσου τρύγῃ κατασπειρόμενος*, eine Reihe Reben oder Bäume, die in den Zwischenräumen mit Getreide bepflanzt, oder dazwischen mit einer andern Frucht (*τρύγη*) besäet ist, also noch eine Zwischenernte gewährt.

343. *ἀνά*, Adverbium, durch (die Reihe) hin, an (den Weinstöcken) hin, wie Iliad. σ, 562 *μέλανες δ᾽ ἀνὰ βότρυες ἦσαν*.

344. *ὁππότε — ἐπιβρίσειαν ὕπερθεν*, eigentlich wann die Horen des Zeus von oben darauf drücken, d. h. mit Macht darauf einwirken, ihren wirksamen Einfluss darauf äussern. Statt des Optativs *ἐπιβρίσειαν* würde man nach *ἔασιν* eigentlich den Conjunctiv *ἐπιβρίσω-*

ὣς φάτο, τοῦ δ᾽ αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ, 24
σήματ᾽ ἀναγνόντος τά οἱ ἔμπεδα πέφραδ᾽ Ὀδυσσεύς. 346
ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε· τὸν δὲ ποτὶ οἷ
εἷλεν ἀποψύχοντα πολύτλας δῖος Ὀδυσσεύς.
αὐτὰρ ἐπεί ῥ᾽ ἄμπνυτο καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
ἐξαῦτις μύθοισιν ἀμειβόμενος προσέειπεν 350
„Ζεῦ πάτερ, ἦ ῥα ἔτ᾽ ἔστε θεοὶ κατὰ μακρὸν Ὄλυμπον,
εἰ ἐτεὸν μνηστῆρες ἀτάσθαλον ὕβριν ἔτισαν.
νῦν δ᾽ αἰνῶς δείδοικα κατὰ φρένα μὴ τάχα πάντες
ἐνθάδ᾽ ἐπέλθωσιν Ἰθακήσιοι, ἀγγελίας δέ
πάντῃ ἐποτρύνωσι Κεφαλλήνων πολίεσσιν.“ 355
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς
„θάρσει· μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
ἀλλ᾽ ἴομεν προτὶ οἶκον, ὃς ὀρχάτου ἐγγύθι κεῖται·
ἔνθα δὲ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην
προύπεμψ᾽, ὡς ἂν δεῖπνον ἐφοπλίσσωσι τάχιστα.“ 360
ὣς ἄρα φωνήσαντε βάτην πρὸς δώματα καλά.
οἱ δ᾽ ὅτε δή ῥ᾽ ἵκοντο δόμους εὖ ναιετάοντας,
εὗρον Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην
ταμνομένους κρέα πολλὰ κερῶντάς τ᾽ αἴθοπα οἶνον.
τόφρα δὲ Λαέρτην μεγαλήτορα ᾧ ἐνὶ οἴκῳ 365

σιν erwarten; jener steht aber, weil die ganze Rede des Odysseus doch eine Erzählung aus der Vergangenheit ist: so namentlich 341 ὀνόμηνας, 343 ἤην. Daher denkt er auch bei ἔασιν vorherrschend an die Vergangenheit: sind und waren immer, wann — darauf drückten.

348. ἀποψύχοντα, d. i. ὀλιγηπελέοντα (ε, 457), exanimatum, animo deficientem, also intransitiv = ἀποψυχόμενον.

349. αὐτὰρ — ἀγέρθη, vgl. ε, 458.

350. ἐξαῦτις, hier nicht in der gewöhnlichen homerischen Bedeutung denuo, neuerdings (vgl. zu δ, 213), sondern einfach wieder. Der Vers scheint übrigens aus δ, 234 hergenommen.

351. ἔστε θεοί, d. h. du und die andern Götter.

353 ff. νῦν δ᾽ αἰνῶς δείδοικα κτέ. Ein ziemlich sprungartiger und unvermittelter Uebergang, der dem natürlichen Fluss des Vatergefühles plötzlichen Einhalt thut.

360. ὡς ἂν — ἐφοπλίσσωσι, der Conjunctiv nach dem Aorist προύπεμψα, weil dieser als Perfect gedacht wird: dahin habe ich vorausgesandt, damit sie (jetzt) bereiten.

365. τόφρα, unterdessen, d. h. während jene die angefangenen Geschäfte (das κρέα τάμνεσθαι und οἶνον κεράν) noch fortsetzten.

24 ἀμφίπολος Σικελὴ λοῦσεν καὶ χρῖσεν ἐλαίῳ,
ἀμφὶ δ' ἄρα χλαῖναν καλὴν βάλεν· αὐτὰρ Ἀθήνη
ἄγχι παρισταμένη μέλε' ἤλδανε ποιμένι λαῶν,
μείζονα δ' ἠὲ πάρος καὶ πάσσονα θῆκεν ἰδέσθαι.
370 ἐκ δ' ἀσαμίνθου βῆ· θαύμαζε δέ μιν φίλος υἱός,
ὡς ἴδεν ἀθανάτοισι θεοῖς ἐναλίγκιον ἄντην.
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
„ὦ πάτερ, ἦ μάλα τίς σε θεῶν αἰειγενετάων
εἶδός τε μέγεθός τε ἀμείνονα θῆκεν ἰδέσθαι."
375 τὸν δ' αὖ Λαέρτης πεπνυμένος ἀντίον ηὔδα
„αἰ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
οἷος Νήρικον εἷλον, ἐυκτίμενον πτολίεθρον,
ἀκτὴν ἠπείροιο, Κεφαλλήνεσσιν ἀνάσσων,
τοῖος ἐών τοι χθιζὸς ἐν ἡμετέροισι δόμοισιν,
380 τεύχε' ἔχων ὤμοισιν, ἐφεστάμεναι καὶ ἀμύνειν
ἄνδρας μνηστῆρας. τῷ κε σφέων γούνατ' ἔλυσα
πολλῶν ἐν μεγάροισι, σὺ δὲ φρένας ἔνδον ἰάνθης."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
οἱ δ' ἐπεὶ οὖν παύσαντο πόνου τετύκοντό τε δαῖτα,
385 ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε.
ἔνθ' οἱ μὲν δείπνῳ ἐπεχείρεον, ἀγχίμολον δέ
ἦλθ' ὁ γέρων Δολίος, σὺν δ' υἱεῖς τοῖο γέροντος,
ἐξ ἔργων μογέοντες, ἐπεὶ προμολοῦσα κάλεσσεν

367 fg. *αὐτὰρ — λαῶν* = σ, 69 fg.

369. *μείζονα — θῆκεν*, vgl. ζ, 229 fg.

376—380. *αἴ γὰρ — ἐφεστάμεναι κ. ἀμύνειν.* Vgl. zu η, 311—314. Da der Wunsch — schon weil er auf die Vergangenheit geht, vgl. *χθιζὸς* 379 — ein unerfüllbarer ist, so sollten die Verba eigentlich im Indicativ eines historischen Tempus stehen: *εἰ γὰρ — ἐφεστήκειν καὶ ἤμυνα.*

377 f. *Νήρικον εἷλον — ἀ. ἠπείροιο.* Demnach gehörte auch die Halbinsel Leukadien (an Akarnanien, das hier unter *ἤπειρος* zu verstehen ist) zum kephallenischen Reiche.

382. *πολλῶν* ist beschränkende Apposition zu *σφέων*, = vielen aus ihnen. Bei *ἰάνθης* ist aus dem vorigen Gliede auch noch *κε* zu denken.

384. *οἱ δέ*, d. i. die zuletzt 363 Genannten.

386. *ἐπεχείρεον* ist wahres Imperfectum, das die nicht wirklich vollendete und neben dem folgenden Factum *ἦλθ' ὁ γέρων* noch fortdauernde Handlung bezeichnet: sie erhoben so eben die Hände zum Mahle, d. h. zum Anfange desselben, da kam Dolios: womit auch das 395 fg. Gesagte sich wohl ver-

μήτηρ γρηῦς Σικελή, ἥ σφεας τρέφε καί ῥα γέροντα 24
ἐνδυκέως κομέεσκεν, ἐπεὶ κατὰ γῆρας ἔμαρψεν. 390
οἱ δ' ὡς οὖν Ὀδυσῆα ἴδον φράσσαντό τε θυμῷ,
ἔσταν ἐνὶ μεγάροισι τεθηπότες. αὐτὰρ Ὀδυσσεὺς
μειλιχίοις ἐπέεσσι καθαπτόμενος προσέειπεν
„ὦ γέρον, ἷζ' ἐπὶ δεῖπνον, ἀπεκλελάθεσθε δὲ θάμβευς·
δηρὸν γὰρ σίτῳ ἐπιχειρήσειν μεμαῶτες 395
μίμνομεν ἐν μεγάροις, ὑμέας ποτιδέγμενοι αἰεί.“
ὣς ἄρ' ἔφη· Δολίος δ' ἰθὺς κίε χεῖρε πετάσσας
ἀμφοτέρας, Ὀδυσεῦς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
„ὦ φίλ', ἐπεὶ νόστησας ἐελδομένοισι μάλ' ἡμῖν 400
οὐδ' ἔτ' ὀιομένοισι, θεοὶ δέ σ' ἀνήγαγον αὐτοί,
οὖλέ τε καὶ μάλα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν.
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
ἢ ἤδη σάφα οἶδε περίφρων Πηνελόπεια
νοστήσαντά σε δεῦρ', ἦ ἄγγελον ὀτρύνωμεν.“ 405
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς
„ὦ γέρον, ἤδη οἶδε· τί σε χρὴ ταῦτα πένεσθαι;“
ὣς φάθ', ὁ δ' αὖτις ἄρ' ἕζετ' ἐυξέστου ἐπὶ δίφρου.
ὡς δ' αὖτως παῖδες Δολίου κλυτὸν ἀμφ' Ὀδυσῆα

einigen lässt. ἐπιχειρεῖν nur hier und 395, aber in ganz eigentlicher Bedeutung.

389. γέροντα geht wieder auf den Laertes, wie 211.

396. μίμνομεν = ἐμίμνομεν.

398. Ὀδυσεῦς (vgl. Einleitung S. 44) hängt von χεῖρα ab.

402. οὖλε entspricht ganz dem lateinischen salve, sei heil!

404. ἢ ἤδη σάφα κτέ. Noch jetzt bewahrt Dolios eine besondere Anhänglichkeit an Penelope, der er ursprünglich gehörte, vgl. δ, 735 ff.

407. τί σε χρὴ ταῦτα πένεσθαι; sei darum unbesorgt, bekümmere dich nicht darum. Die Wendung klingt härter, als sie gemeint ist, und kann verglichen werden mit dem bekannten Worte Jesu, Johann. 2, 4: τί ἐμοὶ καὶ σοί, γύναι;

408. αὖτις ἄρ' ἕζετο. Hieraus muss man schliessen, dass nach der Ansicht des Dichters Dolios auch vorher schon sich gesetzt hatte, wozu sich aber im Vorigen — trotz der Aufforderung des Odysseus 394 ἷζ' ἐπὶ δεῖπνον — keine schickliche Stelle findet. — ἐπὶ δίφρου. Da nach 385 auch bessere Stühle (κλισμοί, Lehnstühle, und θρόνοι, hohe Armsessel) im Hause waren, so muss man annehmen, dass diese jetzt alle von den Gästen in Beschlag genommen seien. Ohnehin machten Dolios und seine Söhne wohl auf nichts Besseres als gewöhnliche Stühle oder Bänke ohne Lehnen (δίφροι) Anspruch.

24 δεικανόωντ᾽ ἐπέεσσι καὶ ἐν χείρεσσι φύοντο,
411 ἑξείης δ᾽ ἕζοντο παραὶ Δολίον πατέρα σφόν.
ὣς οἱ μὲν περὶ δεῖπνον ἐνὶ μεγάροισι πένοντο·
ὄσσα δ᾽ ἄρ᾽ ἄγγελος ὦκα κατὰ πτόλιν ᾤχετο πάντῃ,
μνηστήρων στυγερὸν θάνατον καὶ κῆρ᾽ ἐνέπουσα.
415 οἱ δ᾽ ἄρ᾽ ὁμῶς ἀίοντες ἐφοίτων ἄλλοθεν ἄλλος
μυχμῷ τε στοναχῇ τε δόμων προπάροιθ᾽ Ὀδυσῆος,
ἐκ δὲ νέκυς οἴκων φόρεον, καὶ θάπτον ἕκαστοι,
τοὺς δ᾽ ἐξ ἀλλάων πολίων οἰκόνδε ἕκαστον
πέμπον ἄγειν ἁλιεῦσι θοῇς ἐπὶ νηυσὶ τιθέντες·
420 αὐτοὶ δ᾽ εἰς ἀγορὴν κίον ἀθρόοι, ἀχνύμενοι κῆρ.
αὐτὰρ ἐπεί ῥ᾽ ἤγερθεν ὁμηγερέες τ᾽ ἐγένοντο,
τοῖσιν δ᾽ Εὐπείθης ἀνά θ᾽ ἵστατο καὶ μετέειπεν·
παιδὸς γάρ οἱ ἄλαστον ἐνὶ φρεσὶ πένθος ἔκειτο,
Ἀντινόου, τὸν πρῶτον ἐνήρατο δῖος Ὀδυσσεύς.
425 τοῦ ὅ γε δακρυχέων ἀγορήσατο καὶ μετέειπεν
„ὦ φίλοι, ἦ μέγα ἔργον ἀνὴρ ὅδ᾽ ἐμήσατ᾽ Ἀχαιούς·
τοὺς μὲν σὺν νήεσσιν ἄγων πολέας τε καὶ ἐσθλούς
ὤλεσε μὲν νῆας γλαφυράς, ἀπὸ δ᾽ ὤλεσε λαούς,
τοὺς δ᾽ ἐλθὼν ἔκτεινε Κεφαλλήνων ὄχ᾽ ἀρίστους.
430 ἀλλ᾽ ἄγετε, πρὶν τοῦτον ἢ ἐς Πύλον ὦκα ἱκέσθαι
ἢ καὶ ἐς Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί,

410. ἐν χείρεσσι φύοντο, vgl. κ, 397 ἔφυν τ᾽ ἐν χερσὶν ἕκαστος.

412. ὣς οἱ — πένοντο = δ, 624, wo der Sinn umfassender sein kann als in unserer Stelle, die durch 384 παύσαντο πόνου τετύκοντό τε δαῖτα genau bestimmt und beschränkt wird.

415 f. οἱ δέ, d. i. οἱ κατὰ τὴν πόλιν. — ὁμῶς ἀίοντες scheint zusammenzugehören in dem Sinne: es gleichmässig vernehmend, in allen Theilen der Stadt auf dieselbe Weise und also auch zu gleicher Zeit (weil die göttliche Ossa die Nachricht verbreitete). — Betreffend die Bildung von μυχμὸς vgl. zu ν, 435 μεμορυχμένα.

418 fg. οἰκόνδε ist mit ἄγειν zu verbinden, πέμπον aber mit ἁλιεῦσι, sie übergaben sie Schiffern, trugen sie denselben auf, gaben sie mit, vgl. zu Iliad. π, 454.

421. αὐτὰρ — ἐγένοντο, vgl. zu β, 9.

424. τὸν πρῶτον ἐνήρατο, vgl. χ, 8 ff.

426. ἔργον — ἐμήσατ᾽ Ἀχαιούς, dieselbe Construction wie Iliad. χ, 395 Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα. Denn das Verbum des Beschliessens schliesst auch die Vollziehung ein.

430 fg. ἐς Πύλον — ἐς Ἤλιδα, vgl. ν, 274 fg. Πύλονδε — ἢ εἰς Ἤλιδα δῖαν κτέ., wo der Rhythmus im Anfange des zweiten Verses vorzüglicher erscheint.

ἴομεν. ἢ καὶ ἔπειτα κατηφέες ἐσσόμεθ' αἰεί· 24
λώβη γὰρ τάδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι,
εἰ δὴ μὴ παίδων τε κασιγνήτων τε φονῆας
τισόμεθ'. οὐκ ἂν ἔμοιγε μετὰ φρεσὶν ἡδὺ γένοιτο 435
ζωέμεν, ἀλλὰ τάχιστα θανὼν φθιμένοισι μετείην.
ἀλλ' ἴομεν, μὴ φθέωσι περαιωθέντες ἐκεῖνοι."
ὣς φάτο δακρυχέων, οἶκτος δ' ἕλε πάντας Ἀχαιούς.
ἀγχίμολον δέ σφ' ἦλθε Μέδων καὶ θεῖος ἀοιδός
ἐκ μεγάρων Ὀδυσῆος, ἐπεί σφεας ὕπνος ἀνῆκεν, 440
ἔσταν δ' ἐν μέσσοισι· τάφος δ' ἕλεν ἄνδρα ἕκαστον.
τοῖσι δὲ καὶ μετέειπε Μέδων πεπνυμένα εἰδώς
„κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι· οὐ γὰρ Ὀδυσσεὺς
ἀθανάτων ἀέκητι θεῶν τάδ' ἐμήσατο ἔργα·
αὐτὸς ἐγὼν εἶδον θεὸν ἄμβροτον, ὅς ῥ' Ὀδυσῆι 445
ἐγγύθεν ἑστήκει καὶ Μέντορι πάντα ἐῴκει.
ἀθάνατος δὲ θεὸς τοτὲ μὲν προπάροιθ' Ὀδυσῆος
φαίνετο θαρσύνων, τοτὲ δὲ μνηστῆρας ὀρίνων
θῦνε κατὰ μέγαρον· τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον."
ὣς φάτο, τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δέος ᾕρει. 450
τοῖσι δὲ καὶ μετέειπε γέρων ἥρως Ἀλιθέρσης
Μαστορίδης· ὁ γὰρ οἶος ὅρα πρόσσω καὶ ὀπίσσω·
ὅ σφιν ἐυφρονέων ἀγορήσατο καὶ μετέειπεν
„κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅ ττί κεν εἴπω.
ὑμετέρῃ κακότητι, φίλοι, τάδε ἔργα γένοντο· 455
οὐ γὰρ ἐμοὶ πείθεσθ', οὐ Μέντορι ποιμένι λαῶν,
ὑμετέρους παῖδας καταπαύεμεν ἀφροσυνάων,
οἵ μέγα ἔργον ἔρεξαν ἀτασθαλίῃσι κακῇσιν,

432. ἢ καὶ ἔπειτα κτέ., oder, sonst (= εἰ δὲ μή) werden wir auch für die Zukunft immer beschämt sein.

434. εἰ δὴ μή, vgl. zu χ, 359.

437. περαιωθέντες, ein sonst bei Homer und Hesiodus nie vorkommendes Verbum.

445—449. αὐτὸς — ἔπιπτον. Diese ausführliche Schilderung des Medon ist keineswegs müssig; sie enthält die sehr gewichtige Begründung, warum nichts zu unternehmen sei gegen Odysseus.

448. μνηστῆρας ὀρίνων, vgl. χ, 297—299.

451—454. τοῖσι δὲ — εἴπω, vgl. β, 157—161.

456. οὐ γὰρ ἐμοὶ — οὐ Μέντορι — in Beziehung auf die Ermahnungen, welche diese beide in der Volksversammlung an die Ithakesier richteten β, 167—169 und

24 κτήματα κείροντες καὶ ἀτιμάζοντες ἄκοιτιν
460 ἀνδρὸς ἀριστῆος· τὸν δ' οὐκέτι φάντο νέεσθαι.
καὶ νῦν ὧδε γένοιτο· πίθεσθέ μοι ὡς ἀγορεύω·
μὴ ἴομεν, μή πού τις ἐπίσπαστον κακὸν εὕρῃ."
ὣς ἔφαθ', οἱ δ' ἄρ' ἀνήιξαν μεγάλῳ ἀλαλητῷ
ἡμίσεων πλείους. τοὶ δ' ἁθρόοι αὐτόθι μίμνον·
465 οὐ γάρ σφιν ἅδε μῦθος ἐνὶ φρεσίν, ἀλλ' Εὐπείθει
πείθοντ'· αἶψα δ' ἔπειτ' ἐπὶ τεύχεα ἐσσεύοντο.
αὐτὰρ ἐπεί ῥ' ἔσσαντο περὶ χροῖ νώροπα χαλκόν,
ἁθρόοι ἠγερέθοντο πρὸ ἄστεος εὐρυχόροιο.
τοῖσιν δ' Εὐπείθης ἡγήσατο νηπιέῃσιν·
470 φῇ δ' ὅ γε τίσεσθαι παιδὸς φόνον, οὐδ' ἄρ' ἔμελλεν
ἂψ ἀπονοστήσειν ἀλλ' αὐτοῦ πότμον ἐφέψειν.
αὐτὰρ Ἀθηναίη Ζῆνα Κρονίωνα προσηύδα
„ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
εἰπέ μοι εἰρομένῃ· τί νύ τοι νόος ἔνδοθι κεύθει;
475 ἢ προτέρω πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν
τεύξεις, ἦ φιλότητα μετ' ἀμφοτέροισι τίθησθα;"
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς
„τέκνον ἐμόν, τί με ταῦτα διείρεαι ἠδὲ μεταλλᾷς;
οὐ γὰρ δὴ τοῦτον μὲν ἐβούλευσας νόον αὐτή,

239—241, wo gerade auch das Verbum καταπαύειν gebraucht ist.

459. κτήματα—ἄκοιτιν, vgl. σ, 144.

461. πίθεσθε—ἀγορεύω ist nur eine zwischeneingeschobene Bittformel.

463. ἀλαλητὸς hier gerade von denen, die nicht kämpfen wollen und darum die Versammlung verlassen; vgl. Iliad. β, 149. σ, 149.

464. ἡμίσεων πλείους. Dennoch kehren sich die Andern (also die Minderheit) nicht an die dadurch ausgesprochene Willensmeinung der Mehrheit; es ist also noch kein gesetzlich geordnetes Verhältniss der Theile des Volkes, und so überhaupt bei Homer: jeder Theil thut, was ihm gut dünkt. — τοὶ δέ, die übrigen, andern, οἱ δ' ἄλλοι.

465. μῦθος, nämlich Ἀλιθέρσους.

467. αὐτὰρ — χαλκόν = Iliad. ξ, 383, unten 500.

469. νηπιέῃσιν, vgl. zu α, 297 νηπιάας.

472. αὐτὰρ Ἀθηναίη κτέ. Wieder ein plötzlicher Sprung, und zwar von Ithaka weg zu Zeus und Athene in den Olymp, doch nur für einen Augenblick; denn schon mit 489 sind wir wieder auf Erden, und zwar auf dem Landgute des Laertes.

479 fg. οὐ γὰρ δὴ — ἐλθών = ε, 23 fg., vgl. Einleit. S. 36 unten. Der Sinn ist aber: Ist nicht der Gedanke, den Odysseus heimkehren und, so wie es jetzt geschehen ist, an den Freiern Rache nehmen zu lassen, zuerst von dir ausgegangen, so dass du dir also auch zum Voraus

ἁς ἤτοι κείνους Ὀδυσεὺς ἀποτίσεται ἐλθών; 24
ἔρξον ὅπως ἐθέλεις· ἐρέω δέ τοι ὡς ἐπέοικεν. 481
ἐπεὶ δὴ μνηστῆρας ἐτίσατο δῖος Ὀδυσσεύς,
ὅρκια πιστὰ ταμόντες ὁ μὲν βασιλευέτω αἰεί,
ἡμεῖς δ' αὖ παίδων τε κασιγνήτων τε φόνοιο
ἔκλησιν θέωμεν· τοὶ δ' ἀλλήλους φιλέοντων 485
ὡς τὸ πάρος, πλοῦτος δὲ καὶ εἰρήνη ἅλις ἔστω."
ὣς εἰπὼν ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην,
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων αἰξασα.
οἱ δ' ἐπεὶ οὖν σίτοιο μελίφρονος ἐξ ἔρον ἕντο,
τοῖς δ' ἄρα μύθων ἦρχε πολύτλας δῖος Ὀδυσσεύς· 490
„ἐξελθάν τις ἴδοι μὴ δὴ σχεδὸν ὦσι κιόντες."
ὣς ἔφατ'· ἐκ δ' υἱὸς Δολίου κίεν, ὡς ἐκέλευεν,
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰών, τοὺς δὲ σχεδὸν εἴσιδε πάντας.
αἶψα δ' Ὀδυσσῆα ἔπεα πτερόεντα προσηύδα.
„οἵδε δὴ ἐγγὺς ἔασ'· ἀλλ' ὁπλιζώμεθα θᾶσσον." 495
ὣς ἔφαθ', οἱ δ' ὤρνυντο καὶ ἐν τεύχεσσι δύοντο,
τέσσαρες ἀμφ' Ὀδυσῆ', ἓξ δ' υἱεῖς οἱ Δολίοιο·

die nothwendigen Folgen davon vergegenwärtigen und dich auf die dadurch erforderlich werdenden Massregeln gefasst machen musstest?

481. ἔρξον ὅπως ἐθέλεις, d. h. wohl: da du die Sache angefangen hast, so führe sie nun auch zum Ziele.

483. ὅρκια πιστὰ ταμόντες ὁ μὲν κτέ. Das älteste Beispiel einer politischen Amnestie. Hinsichtlich der Construction vgl. zu ι, 462fg. Das Participium ταμόντες bezieht sich auf beide streitenden Theile, also den Odysseus (ὁ μὲν) und die andern Ithakesier vom Volke. Daher sollte das zweite Glied eigentlich einfach lauten: οἱ δὲ παίδων τε κασιγνήτων τε φόνοιο ἐκλελαθέσθωσαν (sie aber sollen des Mordes u. s. w. vergessen), und ἡμεῖς θέωμεν nur durch eine Nebenbestimmung ausgedrückt sein, z. B. einen Relativsatz, wie ὅπερ ἡμεῖς ποιήσομεν, oder einen Dativ des Mittels ἡμετέρῃ βουλῇ.

485. τοὶ δέ bezieht sich wieder auf beide Theile, wie ἀλλήλους zeigt.

487fg. ὣς εἰπὼν — αἰξασα = Iliad. δ, 73fg.

489. οἱ δ' ἐπεὶ — ἕντο. Ungewöhnliche Variation der so oft vorkommenden Formel αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο.

491. ἐξελθών τις ἴδοι, vgl. zu ξ, 496f. ἀλλά τις εἴη εἰπεῖν Ἀτρείδῃ Ἀγαμέμνονι. — μὴ δὴ σχεδὸν ὦσι, der Conjunctiv nach μή, weil er auch fürchtet, es möchte so sein, und wünscht, dass es nicht sei. Die Form ὦσι (für das bei Homer sonst herrschende ἔωσι) wird geschützt durch ἦσι θ, 580. Dass übrigens nach der ganzen Situation die Diener des Laertes wohl merken können, von wem die Rede sei, wird Niemand im Ernste bezweifeln.

497. τέσσαρες ἀμφ' Ὀδυσῆα,

24 ἐν δ' ἄρα Λαέρτης Δολίος τ' ἐς τεύχε' ἔδυνον,
καὶ πολιοί περ ἐόντες, ἀναγκαῖοι πολεμισταί.
500 αὐτὰρ ἐπεί ῥ' ἕσσαντο περὶ χροῖ νώροπα χαλκόν,
ὤιξάν ῥα θύρας, ἐκ δ' ἤιον, ἦρχε δ' Ὀδυσσεύς.
τοῖσι δ' ἐπ' ἀγχίμολον θυγάτηρ Διὸς ἦλθεν Ἀθήνη,
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν.
τὴν μὲν ἰδὼν γήθησε πολύτλας δῖος Ὀδυσσεύς·
505 αἶψα δὲ Τηλέμαχον προσεφώνεεν ὃν φίλον υἱόν
„Τηλέμαχ', ἤδη μὲν τόδε γ' εἴσεαι αὐτὸς ἐπελθών,
ἀνδρῶν μαρναμένων ἵνα τε κρίνονται ἄριστοι,
μή τι καταισχύνειν πατέρων γένος, οἳ τὸ πάρος περ
ἀλκῇ τ' ἠνορέῃ τε κεκάσμεθα πᾶσαν ἐπ' αἶαν."
510 τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα
„ὄψεαι, αἴ κ' ἐθέλῃσθα, πάτερ φίλε, τῷδ' ἐπὶ θυμῷ
οὔ τι καταισχύνοντα τεὸν γένος, ὡς ἀγορεύεις."
ὣς φάτο, Λαέρτης δ' ἐχάρη καὶ μῦθον ἔειπεν
„τίς νύ μοι ἡμέρη ἥδε, θεοὶ φίλοι· ἦ μάλα χαίρω.
515 υἱός θ' υἱωνός τ' ἀρετῆς πέρι δῆριν ἔχουσιν."
τὸν δὲ παρισταμένη προσέφη γλαυκῶπις Ἀθήνη
„ὦ Ἀρκεισιάδη, πάντων πολὺ φίλταθ' ἑταίρων,
εὐξάμενος κούρῃ γλαυκώπιδι καὶ Διὶ πατρί,
αἶψα μάλ' ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος."

also den Odysseus mitgerechnet.

498. *ἐν δέ*, unter ihnen, mit ihnen.

501. *ὤιξαν — Ὀδυσσεύς* = *ψ*, 370.

506. *τόδε γ' εἴσεαι αὐτός*, das wirst du selbst wissen und auch ohne Ermahnung darauf bedacht sein. Die Erklärung von *τόδε* giebt 508 der Infinitiv *μή τι καταισχύνειν*. *αὐτὸς* gehört aber auch zu *ἐπελθών*, womit dann *ἵνα τε κρίνονται ἄρ.* zu construiren ist: von selbst, aus eignem Antrieb dahin gehend, dich dahin wagend, wo gerade die tapfersten der kämpfenden Männer sich messen.

511. *τῷδ' ἐπὶ θυμῷ*, hier in etwas anderm Sinne als sonst: bei oder mit diesem Muthe, sonst: zu diesem Muthe.

512. *ὡς ἀγορεύεις* drückt eine gewisse Empfindlichkeit des jugendlichen Helden aus, dass sein Vater nur an so etwas (*καταισχύνειν πατέρων γένος*) denken könne: wie du da aussprichst.

514fg. *τίς νύ μοι — ἔχουσιν*. Ein ungemein matter Ausruf, der uns den Laertes als einen beinahe kindisch schwachen und eiteln Alten erscheinen lässt.

517. *Ἀρκεισιάδη*, d. i. Laertes, vgl. *π*, 118. Dies sagt Athene nach 503 in der Gestalt des Mentor, daher *φίλταθ' ἑταίρων*.

ὣς φάτο, καί ῥ᾽ ἔμπνευσε μένος μέγα Παλλὰς Ἀθήνη. 24
εὐξάμενος δ᾽ ἄρ᾽ ἔπειτα Διὸς κούρῃ μεγάλοιο, 521
αἶψα μάλ᾽ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλεν Εὐπείθεα κόρυθος διὰ χαλκοπαρῄου.
ἡ δ᾽ οὐκ ἔγχος ἔρυτο, διαπρὸ δὲ εἴσατο χαλκός·
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ. 525
ἐν δ᾽ ἔπεσον προμάχοις Ὀδυσεὺς καὶ φαίδιμος υἱός,
τύπτον δὲ ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν.
καί νύ κε δὴ πάντας ὄλεσαν καὶ ἐθηκαν ἀνόστους,
εἰ μὴ Ἀθηναίη κούρη Διὸς αἰγιόχοιο
ἤυσεν φωνῇ, κατὰ δ᾽ ἔσχεθε λαὸν ἅπαντα. 530
„ἴσχεσθε πτολέμου, Ἰθακήσιοι, ἀργαλέοιο,
ὥς κεν ἀναιμωτί γε διακρινθεῖτε τάχιστα.“
ὣς φάτ᾽ Ἀθηναίη, τοὺς δὲ χλωρὸν δέος εἷλεν.
τῶν δ᾽ ἄρα δεισάντων ἐκ χειρῶν ἔπτατο τεύχεα,
πάντα δ᾽ ἐπὶ χθονὶ πῖπτε θεᾶς ὄπα φωνησάσης· 535
πρὸς δὲ πόλιν τρωπῶντο λιλαιόμενοι βιότοιο.
σμερδαλέον δ᾽ ἐβόησε πολύτλας δῖος Ὀδυσσεύς,
οἴμησεν δὲ ἀλεὶς ὥς τ᾽ αἰετὸς ὑψιπετήεις.
καὶ τότε δὴ Κρονίδης ἀφίει ψολόεντα κεραυνόν,

522. *ἀμπεπαλὼν — ἔγχος*, vgl. Iliad. *γ*, 355 u. a.

524fg. *ἡ δ᾽ οὐκ — χαλκός* = Iliad. *κ*, 538, wo *ἡ δέ* auf *ἀσπίς* geht. Der folgende Vers kommt in der Iliade sehr oft vor.

527. *ἀμφίγυος*, doppelt gegliedert, d. h. mit zwei Spitzen, näml. am obern und untern Ende, gleichsam *δύο λόγχας ἔχων*, vgl. Xenoph. Anab. 4, 7, 16 *δόρυ μίαν λόγχην ἔχον*.

532. *διακρινθεῖτε τάχιστα* = Iliad. *γ*, 102. Der Optativ bezeichnet das noch von der Bedingung Abhängige und dadurch gleichsam wie durch einen Zwischenraum von der Verwirklichung Getrennte.

534. *τῶν δ᾽ ἄρα — ἔπτατο*, vgl. *μ*, 203. In unserer Stelle leitet sowohl der Begriff von *ἔπτατο* als die Verbindung mit *πῖπτε* im folgenden Vers auf einen etymologischen Zusammenhang zwischen *πέτομαι* und *πίπτω*.

538. *οἴμησεν δὲ ἀλεὶς — ὑψιπετήεις*, wörtlich = Iliad. *χ*, 308, wo die Vergleichung sehr schön noch weiter ausgeführt wird. Hier sieht man eigentlich nicht, wozu der Anlauf des Odysseus, dem kein wirklicher Angriff folgt, dienen soll, da die Gegner schon 536 sich zur Umkehr in die Stadt anschicken: ausser dass er dem Dichter Anlass giebt, die abmahnende Rede der Athene anzubringen und dadurch den, wie es scheint, ihm selbst erwünschten Schluss herbeizuführen.

24 κὰδ δ᾽ ἔπεσε πρόσθε γλαυκώπιδος ὀβριμοπάτρης.
541 δὴ τότ᾽ Ὀδυσσῆα προσέφη γλαυκῶπις Ἀθήνη
„διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
ἴσχεο, παῦε δὲ νεῖκος ὁμοιίου πολέμοιο,
μή πώς τοι Κρονίδης κεχολώσεται εὐρύοπα Ζεύς."
545 ὣς φάτ᾽ Ἀθηναίη, ὁ δ᾽ ἐπείθετο, χαῖρε δὲ θυμῷ.
ὅρκια δ᾽ αὖ κατόπισθε μετ᾽ ἀμφοτέροισιν ἔθηκεν
Παλλὰς Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν.

546. ὅρκια, vgl. 483—486.

Verlag der Weidmannschen Buchhandlung (Karl Reimer) in Berlin.

Druck von Carl Schultze in Berlin, Kommandantenstr. 72.